Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: uqe-aa

*Πλατωνικὴ ὑπόμνησις* · Plato Commentary

# Scholia-Plato

*Σχόλια εἰς Πλάτωνα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πεζός* Prose
**Affiliation:** Platonist

Euthphr t EIS TON EUQUFPONA δίκη.

Euthphr 2a ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων κρίσις. γραφήν.

Euthphr 2a,bis ἡ ὑπὲρ δημοσίων. ἀγνώς.

Euthphr 2b ἄγνωστος 〈καὶ ἄκα〉 νθα δέ τις φασὶ λέγεται γοῦν σφανίας κ 〈αὶ〉 ἰχθὺς 〈π〉 οι–ό–ς. Πιτθεύς: Πιτθὶς δῆμος Αἰγηΐδος Ἀθήνῃσιν, ἐξ οὗ οὗτος.

Euthphr 3a ἀτεχνῶς· ( i) ἀτεχνῶς· παντελῶς 〈ἢ ἀντὶ τοῦ λίαν, περισπωμένως· βαρυτόνως δὲ τὸ ἀπείρως.〉 (inclusa add. W.) (2) ἁπλῶς ἢ καθάπαξ, ἰσχυρῶς ἢ τελέως. οἱ δὲ ἐν ἴσῳ τῷ ὄντι καὶ ἀληθείᾳ. οἱ δὲ δηλοῦν τὸ παράπαν καὶ καθόλου κατ’ ἀλήθειαν. (om. W.) ἀφ’ ἑστίας: ( 1) ἀπὸ τῶν οἰκειοτάτων· ἑστία γὰρ ἡ οἰκία.

Euthphr 3a,bis (2) παροιμία ἐπὶ τῶν ἐν δυνάμει γινομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους, ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν. φέρεται δέ τις καὶ περὶ αὐτῆς μῦθος τοιοῦτος· μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχήν φασι τὸν Δία τὴν βασιλείαν παραλαβόντα (in mg. γρ. διαδεξάμενον) ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅ τι ἂν βούλοιτο, τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων. (3) ἄλλως, ἀφ’ ἑστίας. παροιμία, μετήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων· ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι. ἦ που (εἴ που pr.

Euthphr 4a : corr. T: ἤπου W). ἤπου· ἴσως, σχεδόν. πελάτης.

Euthphr 4c ( 1) ὁ ἀντιστρωφῶν καὶ ὑπηρετῶν καὶ προσπελάζων. (2) ἀπὸ τοῦ πέλας καὶ ἐγγὺς ἐκαλεῖτο· ὁ δι’ ἔνδειαν προσιών, μίσθιος δὲ ὁ ὑπηρετῶν. ἐξηγητοῦ.

Euthphr 4c,bis τοῦ τοὺς νόμους ἐξηγουμένου. αὐτοσχεδιάζοντα.

Euthphr 5a ἐκ τοῦ αὐτομάτου καὶ προχείρου καὶ ἑτοίμου λέγοντα, χωρὶς αἰτίας. λάχε δίκην.

Euthphr 5b κλήρῳ γὰρ εἰσῆγον τὰς δίκας δι’ εὐταξίαν. ἐπὶ σχολῆς.

Euthphr 6c ἐπὶ τῆς παρὰ τοῖς πολλοῖς λεγομένης εὐκαιρίας. ἵνα γὰρ δέος κτλ.

Euthphr 12b ση 〈μείωσαι〉 πα 〈ροιμίαν〉 · ἵναπερ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων (fr. 20 Kinkel = fr. XXIII T. W. Allen). Ζῆνα δὲ τὸν ῥέξαντα καὶ ὃς τάδε πάντ’ ἐφύτευσεν οὐκ ἐθέλει νεικεῖν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. ἵνα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Euthphr 12b,bis ἀντὶ τοῦ ὅπου. σκαληνός.

Euthphr 12d ὁ σκολιὸς καὶ πολυγώνιος· τοῦ γὰρ τριγώνου ἐστιν εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν. οὐ χαμαὶ πεσεῖται.

Euthphr 14d παροιμία· οὐ μὴ χαμαὶ πέσῃ, ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόντων, ἀλλ’ ἐπιτυγχανόντων. εἴπερ τις ἄλλος.

Euthphr 15d ὡς οὐδεὶς ἄλλος. θητός.

Euthphr 15d,bis θὴς θητός, ὁ μισθοῦ δουλεύων. διωκάθειν.

Euthphr 15d,ter διώκειν. ΕΙΣ ΤΗΝ ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑΝ χρῆν.

Ap 17a ἔδει. ἵνα.

Ap 17c ὅπου. (T: non habet W.) ἐρήμην κατηγοροῦντες.

Ap 18c ἐρήμη δίκη ἐστὶν ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδιαιτηθῇ. ἀντωμοσίαν.

Ap 19b ( 1) ἀντωμοσία ἐπὶ δίκῃ λέγεται, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα ὅτι ἠδίκηται, τὸν δὲ ἐγκαλούμενον μὴ ἠδικηκέναι. (2) οἱ δὲ ἀντωμοσίαν τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις καὶ ἀνέγγραφον εἰς ὅρκον περιισταμένην δίκην, ἐφ’ οἷς οἱ κριταὶ δοξάζουσιν. (3) ἔνιοι ὅταν ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν ὁ ἀντίδικος ἀντομνύηται, φάσκων προσποιεῖσθαι αὐτόν, καὶ περὶ τούτου διαλαμβάνωσιν οἱ δικασταί. (4) ὁ τοῦ κατηγορουμένου ὅρκος ἐπὶ τῷ τἀληθῆ ἀπολογήσασθαι, ὥσπερ τοῦ κατηγοροῦντος πρότερον διωμοσία, ἐπὶ τῷ τἀληθῆ κατηγορήσειν. προῖκα. [10]

Ap 19e κατὰ δωρεάν, ἄνευ μισθοῦ. ἦ δ’ ὅς .

Ap 20b .. ἦν δ’ ἐγώ. ἔφη δὲ οὗτος ... ἔφην δὲ ἐγώ. ᾖα.

Ap 21e ἐπορευόμην. νὴ τὸν κύνα.

Ap 22a Ῥαδαμάνθυος ὅρκος οὗτος ὁ κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου. οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ’ ἐσίγων. Κρατῖνος Χείρωσι (fr. 231 Kock). τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. ἦ μήν. [5]

Ap 22a,bis ὄντως δή. ἐπ’ αὐτοφώρῳ.

Ap 22b ἐπαυτόπτῳ [ἐπαυτόπτῳ], ἐπ’ ὄψει. χαριεντίζεται.

Ap 24c εὐτραπελεύεται, σκώπτει. ὦ τάν ( sic B: ὦ τᾶν T W).

Ap 25c (1) ὦ οὗτος, ὦ τάλαν, καὶ ὦ μέλε. ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ μόνων λέγεται γυναικῶν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ’ ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τάν, ὡς παρὰ Κτησιφῶντι. οἱ γὰρ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσιν, τὴν δὲ δευτέραν βραχύνουσιν. καὶ βέλτιον· ἀδύνατον γὰρ εὑρεθῆναι μίαν λέξιν δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἔταν, ἀγνοῶν ὡς ἀπὸ τοῦ ἔτης ἡ κλητική ἐστιν ἔτα, καὶ Δωρικῶς ἔταν. ( 2) ὦ οὗτος. οἶ. [5]

Ap 26a ὅπου. ἐν τῇ ἀντιγραφῇ.

Ap 27c ἀντιγραφή ἐστιν ὅταν ὁ φεύγων καὶ αὐτὸς γράφηται τὸν διώκοντα, ὡς ἐπὶ τῶν λαγχανόντων τὴν μὴ οὖσαν δίκην καὶ τῶν παραγραφομένων· καὶ οὗτοι γὰρ τρόπον τινὰ κατηγοροῦσιν. ἄττα.

Ap 30c τινά. πολλοῦ δέω.

Ap 30d πόρρω λίαν εἰμί. ἄλλως.

Ap 35d μάλιστα. κατέδαρθεν.

Ap 40d κατεκοιμήθη. ΕΙΣ ΤΟΝ ΚΡΙΤΩΝΑ ἐπιεικῶς.

Cri 43a ἱκανῶς, ἐπίπαν, φιλικῶς παρὰ Πλάτωνι. ἤματί κεν κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Cri 44b σῃ 〈μείωσαι〉 κατὰ τὸ ἐνύπνιον λόγιον. εἰ γὰρ ὤφελον.

Cri 44d ἀντὶ τοῦ εἴθε. (W: non habet T.) γεννήταις ( sic TW: γεννηταῖς B).

Cri 51e γεννῆται οἱ τοῦ γένους μετέχοντες καὶ ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερά. οἱ δὲ ὁμογάλακτας, φράτορας, συγγενεῖς τοὺς γεννήτας. ΕΙΣ ΤΟΝ ΦΑΙΔΩΝΑ ΦΑΙΔΩΝ.

Phd ad tit Εἴ με Πλάτων οὐ γράψε, δύω ἐγένοντο Πλάτωνες· Σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω. ἀλλὰ νόθον με τέλεσσε Παναίτιος· ὅς ῥ' ἐτέλεσσε καὶ ψυχὴν θνητήν, κἀμὲ νόθον τελέσαι. Θεωρίαν ἀπάξειν. [5]

Phd 58b θεωρίαν ἀπάξειν ἀντὶ τοῦ θυσίαν ἀπενεγκεῖν. Θεωροὶ δέ εἰσιν οἱ πεμπόμενοι θύσαι καὶ θεραπεῦσαι τὸν θεόν· ὅθεν καὶ αἱ ὁδοὶ δι' ὧν ἐπορεύοντο θεωρίδες κέλευθοι ἐκαλοῦντο καὶ τὰ διδόμενα θεωρικά, καὶ ἡ ναῦς ἡ εἰς Δῆλον πεμπομένη θεωρὶς καὶ ὁ ἱερεὺς θεωρός. ἄτοπον. [5]

Phd 60b ἄτοπον τὸ θαυμαστόν, ὡς καὶ ἐν Θεαιτήτῳ φησίν (142 b) “Οὐδέν γ' ἄτοπον, ἀλλὰ πολὺ θαυμαστότερον ἦν”· ἐσαφηνίσθη γὰρ διὰ τῆς ἀντιθέσεως. τάττεται δὲ καὶ ἐπὶ τοῦ ἀνυπόπτου· Εὔπολις Μαρικᾷ (fr. 180 Kock)— καὶ πόλλ' ἀγάθ' ἐν τοῖσι κουρίοις ἐγὼ ἀτόπως καθίζων, κοὐδὲ γινώσκειν δοκῶν. καὶ τὸ ἀδόκητον καὶ ἀνυπονόητον· οἱ δὲ ἄλογον. καθῆκε τὰ σκέλη. [5]

Phd 61c συντονώτερον ἀνέλαβε σχῆμα καὶ σεμνότερον, ὡς περὶ προβλήματος σεμνοτέρου μέλλων διαλέγεσθαι. πῶς κτλ.

Phd 61d κατὰ τὸν Κέβητα ἡ τάξις τῶν προβλημάτων. Φιλολάῳ.

Phd 61d,bis Πυθαγόριος οὗτος ἦν, ἐξ Ἰταλίας πεφευγὼς διὰ τὸν ἐμπρησμὸν τούτων τὸν ὑπὸ Γύλωνος γεγονότα διὰ τὸ ἀνεπιτήδειον αὐτοῦ πρὸς φιλοσοφίαν καὶ ἀπελαθέντα τοῦ ὁμακοΐου. ὃς καὶ δι' αἰνιγμάτων ἐδίδασκεν, καθάπερ ἦν ἔθος αὐτοῖς. ἦλθεν οὗτος εἰς Θήβας, τεθνεῶτι τῷ διδασκάλῳ Λύσιδι χοὰς ποιήσασθαι ἐκεῖσε τεθαμμένῳ. Ἵππαρχος δὲ καὶ Φιλόλαος μόνοι τῆς εἰρημένης συμφορᾶς τῶν Πυθαγορίων διεσώθησαν. πρὸς τὸν Λύσιν δὲ τοῦτον Πλάτων ποιεῖται τὸν διάλογον. ἴσως καὶ μάλιστα. [5]

Phd 61d,ter τὸ μὲν ἴσως διὰ τὸ μυθικὸν ἐπιχείρημα, τὸ δὲ μάλιστα διὰ τὸ φιλόσοφον. μέχρι ἡλίου δυσμῶν.

Phd 61e ὡς ζήσεσθαι μέλλων μέχρις ἡλίου δυσμῶν. ἐν γὰρ ἡμέρᾳ φονεύειν ἀπείρητο, καθὰ τοῖς Πυθαγορίοις τὸ ἐν μεσημβρίᾳ καθεύδειν, διὰ τὸ τὸν ἥλιον τότε μᾶλλον ἐνεργεῖν. τἆλλα.

Phd 62a οἷον πλοῦτος, δόξα, ξίφος. ἐπαμφοτερίζει γὰρ καὶ τὰ ἄλλα πάντα, θάνατος δὲ μόνως ἀγαθός ἐστιν. οἷς δὲ βέλτιον τεθνάναι.

Phd 62a,bis κατὰ τὸν Σωκράτην ἡ α' τάξις τῶν προβλημάτων· πρῶτον γὰρ δεῖ ἐθέλειν ἀποθνήσκειν κατὰ προαίρεσιν τοῦ μὴ ἐξάγειν ἑαυτοὺς κατὰ φύσιν. ἴττω Ζεύς.

Phd 62a,ter ἐγέλασεν διότι ἐκάλεσε τὸν φονεύοντα ἑαυτὸν εὐεργέτην. τὸ δὲ ἴττω (sic) ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ίττω (sic) τῇ Βοιωτίδι διαλέκτῳ, ὃ δείκνυσιν ὅτι φύσει τὸν Σωκράτην θαυμάζει. ἐν ἀπορρήτοις.

Phd 62b ἐντεῦθεν τὸ πρῶτον πρόβλημα, τὸ μὴ δεῖν ἐξάγειν ἑαυτόν· οὗ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν. οὐ μέντοι.

Phd 62b,bis ἐπιχείρημα δεύτερον διαλεκτικὸν καὶ φιλόσοφον. ὃ μέντοι κτλ.

Phd 62c ἐντεῦθεν τὸ δεύτερον πρόβλημα, τὸ τοὺς φιλοσόφους ἐθέλειν ἀποθνήσκειν. Sequuntur in codice T duo scholia quae nunc legi non possunt, ( I) ad columnae sinistrae calcem, ( 2) in mg. dextro ad fin. columnae. κινδυνεύουσι. [5]

Phd 64a ἀντὶ τοῦ δι' ἀνάγκης καὶ ἀποδείξεως τοῦτο αὐτοῖς συνάγεται. γελασείοντα.

Phd 64b γελαστικῶς ἔχοντα, γελάσαι θέλοντα. θανατῶσι.

Phd 64b,bis θανάτου ἐπιθυμοῦσι. ἦ δ' ὅς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Phd 72b ἦ δ’ ὅς, ἐὰν μὲν ᾖ δύο λόγου μέρη, ἔσται ἔφη δὲ ὅς, τοῦτ’ ἔστιν ἔφη δὲ οὗτος· οἱ δὲ λέγουσιν ὅτι αὐτὸ μόνον σημαίνει τὸ ἔφη. ἐὰν δὲ ᾖ ἓν μέρος λόγου, ἔσται φίλος ὡς Ἀθηναῖοι, ἢ ὄφελος ὡς Αἰγινῆται, ἢ ὄζος (l. ὄξος) ὡς Χαλκιδεῖς, ᾧ πρὸς τὰ ἱερὰ χρῶνται. τάσσεται δ’ ἐπὶ παντὸς προσώπου καὶ ἀριθμοῦ ὡς τὸ ὦ τάν. ὁμοῦ.

Phd 72c ὁμοῦ σημαίνει ποτὲ μὲν τὸ ἐγγύς, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ τῆς Παραπρεσβείας (XIX 251)· “Καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι ἀπὸ Σόλωνος, ὁ δ’ ἐστὶν ὁμοῦ ς ἔτη καὶ μ .” καὶ ἐν τῷ κατ’ Ἀριστογείτονος (XXV 51)· “Εἰσὶν ὁμοῦ πάντες δισμύριοι Ἀθηναῖοι.” καὶ Μένανδρος ἐν τῷ Ἑαυτὸν τιμωρουμένῳ (fr. 140 Kock)— Πρὸς τῆς Ἀθηνᾶς, δαίμων δύο γεγονὼς ἔτη τοσαῦτα· ὁμοῦ γάρ ἐστιν ἑξήκοντά σοι. καὶ Ἀριστοφάνης Τριφάλητι (fr. 542 Kock)· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσά φησιν— λαβέσθαι· καὶ γὰρ ἔσθ’ ὁμοῦ. δηλοῖ δὲ καὶ τὸ ἐν τούτῳ (l. ταὐτῷ)· Ὅμηρος (Ψ 84)— ἀλλ’ ὁμοῦ ὡς ἐτράφην (l. ἐτράφημεν) ἐφ’ ὑμετέροισι δόμοισι. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους (XXIII 43)· “Οὐκοῦν εἰ μὲν ἐάσομεν τούτων συμβάντων ὑμᾶς, οὐ καθαροῖς 〈οὖσιν〉 ὁμοῦ διατρίψομεν.” ἔστι καὶ χρονικόν· Σοφοκλῆς Οἰδίποδι (O. T. 4)— πόλις 〈δ’〉 ὁμοῦ μὲν θυμιαμάτων γέμει ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμῶν (l. στεναγμάτων). ἔχει καὶ δύναμιν συλληπτικήν, ὡς παρὰ Μενάνδρῳ ἐν Ὑδρίᾳ (fr. 469 Kock)· οἱ Θρᾷκες Λιβύτρωες καλοῦνται— πάντα νῦν ἤδη ’σθ’ ὁμοῦ, ὅπερ δηλοῖ τὸ ἐν τῷ αὐτῷ. θαμά.

Phd 72e πυκνά. ἄλλως.

Phd 76e μάτην. ἄλλως τε.

Phd 77e μάλιστα. ἤ που.

Phd 82b ἴσως, σχεδόν. (W: non habet T.) μῶν.

Phd 84c ἄρα (ἆρα W). ἦ που.

Phd 84d ἴσως, σχεδόν. ὑπερδικεῖν.

Phd 86e συνηγορεῖν, καὶ ὑπέρδικοι οἱ συνήγοροι. θρᾶττον.

Phd 86e,bis ταράττον, ἐνοχλοῦν. οὐδ’ ὁ Ἡρακλῆς.

Phd 89c παροιμία πρὸς δύο οὐδ’ ὁ Ἡρακλῆς. ταύτης τὴν αἰτίαν Δοῦρις (FHG II 487, 76; FGH 76 F 93) οὕτως ἀφηγεῖται. Ἡρακλέα γάρ φησι βωμὸν εἱσάμενον ἐπὶ τῷ Ἀλφειῷ πυγμῆς ἀγῶνα θεῖναι, καὶ νικήσαντα τὴν ἑξῆς Ὀλυμπιάδα πάλαι (l. πάλιν) ἀγωνιζόμενον ὑπὸ Ἐλαίου (l. Ἐλάτου) καὶ Φεράνδρου πάγῃ (l. πάλῃ) ληφθῆναι, καὶ ἐξ ἐκείνου τὸ πρὸς δύο Ἡρακλῆς παροιμιασθῆναι. Ἐχεφυλλίδας (FHG IV 403, 3) δὲ αὐτὸν ὑπὸ Κτεάτου καὶ Εὐρύτου τῶν Μολ〈ι〉ονιδῶν ἡττηθῆναι κατὰ τὴν ἐπ’ Αὐγείᾳ στρατείαν. διωχθέντα δὲ ἄχρι τῆς Βουπρασίδος καὶ περιβλεψάμενον, ὡς οὐδεὶς ἐξίκετο τῶν πολεμίων, ἀναψύξαι τε καὶ ἐκ τοῦ παραρέοντος (sic) ποταμοῦ πιόντα προσαγορεῦσαι Τοῦτο ἡδὺ ὕδωρ, ὃ νῦν δείκνυται ἰόντων ἐκ Δύμης εἰς ἥλιον (l. Ἦλιν), καλούμενον ὑπὸ τῶν ἐγχωρίων Σαδὺ Ὕδωρ. τὰ δὲ αὐτὰ καὶ Φερεκύδης (FHG I 81, 36; FGH 3 F 79 a) καὶ Κώμαρχος (l. Κλέαρχος? cf. FHG II 320, 57) καὶ Ἴστρος ἐν τοῖς Ἰλιακοῖς (l. Ἠλιακοῖς FHG I 424, 46) ἱστοροῦσιν. καὶ διὰ τοῦτο θεωροὺς τοὺς Μολιονίδας ἰόντας εἰς Κόρινθον λοχήσαντα τὸν Ἡρακλέα περὶ Κλεωνὰς ἀποκτεῖναι· ὅθεν Ἠλ〈ε〉ίοις ἀπώμοτον εἶναι τὰ Ἴσθμια ἀγωνίζεσθαι, ὅτι θεωροὺς πεμφθέντας εἰς τὸν Ἰσθμὸν τοὺς Μολιονίδας ἑλὼν Ἡρακλῆς ὑπὸ Κορινθίων ἐδέχθη. Ἡρόδωρος δὲ (FHG I 32, 13; FGH 31 F 23) καὶ Ἑλλάνιχός (sic. FHG I 50, 40; FGH 4 F 103) φασιν ὡς, ὅτε τὴν ὕδραν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκῖνον (sic) ἐφορμῆσαι, πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλαον, καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. ἐμνήσθη δὲ ταύτης Πλάτων καὶ ἐν ια′ Νόμων (919 b),

Eulogikon public reading copy · View original HTML at eulogikon.org

"Ὀρθὸν μὲν δὴ πάλαι τε εἰρημένον, ὡς πρὸς δύο μάχεσθαι χαλεπόν," καὶ ἐνταῦθα. ὑπερήφανος.

Phd 96a ὑπέρφρων. καρδόπῳ.

Phd 99b τῇ μάκτρᾳ τοῦ ἀλεύρου. δεύτερον πλοῦν.

Phd 99c παροιμία δεύτερος πλοῦς ἐπὶ τῶν ἀσφαλῶς τὶ πραττόντων, παρ' ὅσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον. ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ β′ τῶν Ἠθικῶν (1109 a 34), καὶ Μένανδρος Κεκρυφάλῳ (fr. 279 Kock) καὶ Πλοκίῳ (fr. 241 Kock) καὶ Θεοφορουμένῃ (fr. 228 Kock). τὴν σαυτοῦ σκιάν.

Phd 101d παροιμία τὴν αὑτοῦ σκιὰν δέδοικεν, ἐπὶ τῶν σφόδρα δειλοτάτων. μέμνηται ταύτης Ἀριστοφάνης Βαβυλωνίοις (fr. 77 Kock). ἀναβάλλοιτο.

Phd 107a ἀνακρούοιτο (W: non habet T). ἕρμαιον.

Phd 107c ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. Γλαύκου τέχνη.

Phd 108d ση〈μείωσαι〉 πα〈ροιμίαν〉 ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων ἤτοι ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων. Ἵππασος γάρ τις κατεσκεύασε χαλκοῦς τέτταρας δίσκους οὕτως ὥστε τὰς μὲν διαμέτρους αὐτῶν ἴσας ὑπάρχειν, τὸ δὲ τοῦ πρώτου δίσκου πάχος ἐπίτριτον μὲν εἶναι τοῦ δευτέρου, ἡμιόλιον δὲ τοῦ τρίτου, διπλάσιον δὲ τοῦ τετάρτου, κρουομένους δὲ τούτους ἐπιτελεῖν συμφωνίαν τινά. καὶ λέγεται Γλαῦκον ἰδόντα τοὺς ἐπὶ τῶν δίσκων φθόγγους πρῶτον ἐγχειρῆσαι δι' αὐτῶν χειρουργεῖν, καὶ ἀπὸ ταύτης τῆς πραγματείας ἔτι καὶ νῦν λέγεσθαι τὴν καλουμένην Γλαύκου τέχνην. μέμνηται δὲ τούτων Ἀριστόξενος περὶ τῆς μουσικῆς ἀκροάσεως (FHG II 288, 77) καὶ 〈Νι〉κοκλῆς ἐν τῷ περὶ θεωρίας· ἔστι δὲ καὶ ἑτέρα τέχνη γραμμάτων, ἣν ἀνατιθέασιν Γλαύκῳ Σαμίῳ, ἀφ' ἧς ἴσως καὶ ἡ παροιμία διεδόθη. οὗτος δὲ καὶ σιδήρου κόλλησιν εὗρεν, ὥς φησιν Ἡρόδοτος (I 25). κατεδηδεσμένοι.

Phd 110e καταβεβρωμένοι. αἰώραν.

Phd 111e ὕψωσιν, ἔπαρσιν. ΕΙΣ ΤΟΝ ΚΡΑΤΥΛΟΝ χαλεπὰ τὰ καλά.

Cra 384b παροιμία ἐπὶ τῶν ἐν εὐπραγίᾳ μεταβαλλομένων εἰς ὠμότητα. φησὶ δὲ αὐτὴν Δίδυμος ὑπὸ Σόλωνος ἀναφωνηθῆναι ἐπὶ Πιττακῷ ἱκετεύοντι τὴν ἀρχὴν ἀποθέσθαι, καὶ φάντι χαλεπὸν ἐσθλὸν φῦναι, διὰ τὸ Περίανδρον εἰς ὠμότητα μεταβαλεῖν. ὅθεν, οἶμαι, φησὶ καὶ Μένανδρος (fr. 724 Kock) ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν ἀγαθὰ τὰ λίαν ἀγαθά. μέμνηται δὲ αὐτῆς καὶ Ἐπίχαρμος (fr. 220 Kaibel) καὶ Πλάτων Πολιτείᾳ (497 d) καὶ Κρατύλῳ. ἀτηρά.

Cra 395b ἀκόλαστα, ὑβριστικά, χαλεπά, κακά, βλαβερά. ταλάντατον.

Cra 395e ἀτυχέστατον. ἀποδιοπομπησόμεθα.

Cra 396e ἀποδιοπομπεῖσθαί φασι ἀποτρέπεσθαι τὸν προστρόπαιον Δία καὶ οἱονεὶ καθαίρεσθαι τὰ δεινά. θεῖν.

Cra 397d τρέχειν, σπεύδειν. καλῶς.

Cra 401a μετρίως. ἀδολέσχαι.

Cra 401b μακρήγοροι, μακρολόγοι. τῇ Ἑστίᾳ προθύειν.

Cra 401d παροιμία ἀφ' ἑστίας ἄρχεσθαι ἐπὶ τῶν ἐν δυνάμει γινομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους, ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν. φέρεται δέ τις καὶ περὶ αὐτῆς μῦθος τοιοῦτος· μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχήν φασι τὸν Δία τὴν βασιλείαν διαδεξάμενον ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅ τι ἂν βούλοιτο, τὴν δὲ τὴν παρθενίαν τε αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων. ὄπυιεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Cra 402c ὡμίλει, συνεγίνετο κατὰ νόμον καὶ ἐμίγνυτο, συνῴκει. ἄρρατον.

Cra 407d ἀσφαλὲς ἢ ἀκάματον, οἱ δὲ ἰσχυρόν, ἔνιοι μικρόν, οἱ δὲ μέγα, οἱ δὲ τὸ σκληρὸν καὶ ἀμετάστροφον. ἐσύθη.

Cra 412b ἀπεφέρετο, ἀπηνέχθη. προφάσεις ἀγὼν δέχεσθαι.

Cra 421d παροιμία ἀγὼν πρόφασιν οὐκ ἀναμένει, ἐπὶ τῶν φύσει ῥᾳθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς Πλάτων ἐνταῦθα οὕτως "οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι," καὶ ἐν Νόμων ἕκτῳ (751 d) "ἀλλὰ γὰρ ἀγῶνα προφάσεις φασὶν οὐ πάνυ δέχεσθαι." Αἰσχύλος δέ φησιν Γλαύκῳ Ποτνιεῖ (fr. 37 Nauck)— ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους· καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β' (fr. 331 Kock). δεινοί. [5]

Cra 424c ἱκανοί, ἢ δέους ἄξιοι, ὡς νῦν. θαμά.

Cra 428d πυκνῶς, συχνῶς. ΕΙΣ ΤΟΝ ΘΕΑΙΤΗΤΟΝ ἄρτι.

Tht 142a ἄρτι· τοῦτο σημαίνει τὸ παρὸν καὶ ὑπόγυιον καὶ τὸ παραυτίκα μέλλον γίνεσθαι. ἐπιεικῶς.

Tht 142a,bis ἱκανῶς, ἐπίπαν, φιλικῶς παρὰ Πλάτωνι καὶ ἐπιεικὴς ὁ μέτριος. αἱρεῖ.

Tht 142b καταλαμβάνει, νῦν δὲ τὸ καταπονεῖ. ἀτάρ.

Tht 142d καὶ δή, ὡς νῦν. σημαίνει δὲ καὶ ὅμως καὶ ἅτε δὴ καὶ πλὴν καὶ δέ. οὐδέν γε ἀπὸ τρόπου.

Tht 143c οὐ πόρρω τοῦ καθήκοντος. Εἰ μὲν τῶν ἐν Κυρήνῃ.

Tht 143d ἀρχὴ τοῦ Σωκράτους διαλόγου. (W: non habet T.) ἐπίδοξοι.

Tht 143d,bis ἔνδοξοι, ἢ ὡς νῦν, προσδόκιμοι. προσέοικε δὲ σοὶ κτλ.

Tht 143e σημείωσαι οἷος Σωκράτης τὸ εἶδος ἦν. ἀνερμάτιστα.

Tht 144a ἀστήρικτα· ἕρματα γὰρ τὰ ἐρείσματα ἢ στηρίγματα. ἔξω δρόμῳ.

Tht 144c τόποι τινὲς ἦσαν, ὁ μὲν ἐντὸς ἄστεος, ὁ δὲ ἐκτός, ἀπὸ τῶν ἐν αὐτοῖς τελουμένων ὑπὸ τῶν νέων δρόμοι καλούμενοι. νῷν.

Tht 144e ἡμῶν. (T: non habet W.) καθεδεῖται .

Tht 146a .. ὄνος. παροιμία ὄνος καθοῦ, ἐπὶ τῶν ἐν πράγματι ἡττωμένων. εἴρηται δὲ ἀπὸ τῶν παίδων τῶν σφαιριζόντων καὶ τὸν νικηθέντα ὡς ὄνον καθιζόντων. ἐμνήσθη δὲ ταύτης ἐνταῦθα Πλάτων. ἀπειθεῖν ( W: ἀπιστεῖν B T: ἀπελθεῖν al.

Tht 146c ). γρ. καὶ ἀπιστεῖν (W). ἰπνοπλαθῶν.

Tht 147a γρ. καὶ κοροπλαθῶν (W). ἀπαλλαγῆναι τοῦ μέλειν ( B Pap.

Tht 148e Berol.: μέλλειν T: εὑρεῖν W). γρ. καὶ μέλειν (W). ἔοικεν.

Tht 152b διὰ τοῦ ἔοικεν ὁ Θεαίτητος φαίνεται ἀγαπῶν τὸ Πρωταγόρου δόγμα καὶ μένων τῇ ἐξ ἀρχῆς ἑαυτοῦ ἀποκρίσει. ἆρ' οὖν κτλ.

Tht 152c πρώτη κατασκευὴ ὑπὲρ τοῦ Πρωταγορείου δόγματος. συρφετῷ.

Tht 152c,bis κονιορτῷ τῷ μετὰ κόπρων. οἱ δὲ λοιμῶν (l. χειμὼν) καὶ σύρμη καὶ σύρφη φρύγανα. κινήσεων ὄντων.

Tht 153b σημείωσαι τὴν σύνταξιν, ὅτι οὐδετέρως εἶπεν ὄντων πρὸς τὰ πράγματα· οὐδέτερον γὰρ τὸ πρᾶγμα. τὸν κολοφῶνα κτλ.

Tht 153c παροιμία. δώδεκα πόλεις τῆς Ἰωνίας συνῄεσαν εἰς τὸ Πανιώνιον λεγόμενον, περὶ τῶν κοινῶν βουλευσόμεναι, καὶ εἴ ποτε ἴσοι αἱ ψῆφοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν ἐτίθεντο τὴν νικῶσαν· Σμυρναίους γὰρ ἐλθόντας εἶχον συνοίκους, ὑπὲρ ὧν καὶ τήνδε τὴν ψῆφον ἐτίθεντο.

ὅθεν ἐπὶ τῆς κρατούσης καὶ βεβαιοτάτης ψήφου ἡ παροιμία ἐτίθετο, οἷον τὸν Κολοφῶνα ἐπιτίθημι ἢ τὸν Κολοφῶνα ἀναγκάζω προσβιβάζων. ἄνω κάτω πάντα.

Tht 153d παροιμία ἐπὶ τῶν τὴν τάξιν μεταστρεφόντων. Μένανδρος Ἐγχειριδίῳ (fr. 152 Kock) καὶ ἐν Χήρᾳ (fr. 514 Kock)— τὸ λεγόμενον τοῦτ’ ἔστιν νῦν, τἄνω κάτω, φασίν, τὰ κάτω δ’ ἄνω. ὑπόλαβε κτλ.

Tht 153d,bis δευτέρα κατασκευὴ ὑπὲρ τῶν Πρωταγόρᾳ δοκούντων. προσήκουσαν.

Tht 153e ἀντὶ τοῦ σύμμετρον. ἴδιον.

Tht 154a ἀντὶ τοῦ μερικόν. ᾧ παραμετρούμεθα.

Tht 154b ᾧ παραμετρούμεθα, τοῦτο ἔστιν τῷ αἰσθητηρίῳ. ἔστι δὲ τὸ ῥῆμα μέσης διαθέσεως. οὗ δὲ ἐφαπτόμεθα λέγει τοῦ αἰσθητοῦ. τὸ δ’ αὐτὸ εὐθὺς καὶ παραμετρούμενον λέγει, ἐφαπτόμενον δὲ τὸ αἰσθητήριον. φάσματα.

Tht 155a φάσματα λέγει ταῦτα ὡς τῶν ψυχῶν ἀπατηλά, εἰ μή τις ὀρθῶς αὐτὰ μεταλάβοι. κομιδῇ.

Tht 155a,bis πᾶν, παντελῶς· συναγωγή, ἐπιμέλεια. καὶ κομίστρια ἡ τροφός (sic). ἀλλά.

Tht 155b ὁ Πρόκλος τὸ ἀλλὰ παρέλκειν λέγει. ὑπερφυῶς ὡς κτλ.

Tht 155c μέχρι τοῦδε τὰ τῆς δευτέρας κατασκευῆς τῶν Πρωταγορείων δογμάτων. ἀπρίξ.

Tht 155e προσπεφυκότως, ἰσχυρῶς, ὃ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύμφυσιν. πρὸς τὰ πρότερα.

Tht 156c πρὸς τὰ πρότερα λέγει, πρὸς τὸ “πάντων χρημάτων μέτρον εἶναι τὸν ἄνθρωπον,” καὶ τὰ τοιαῦτα. ὅσον μὲν οὖν κτλ.

Tht 156c,bis οἷον ὡς τὸ ἁπτὸν καὶ τὸ γευστόν. παρέλιπεν δὲ ὄψιν καὶ ἀκοὴν ταχέως γινόμενα· τούτων γὰρ σχεδὸν ἀχρόνως αἰσθανόμεθα, διὰ δὲ τὸ ἐναργῆ αὐτὰ εἶναι παρέλιπεν. ἑξῆς δὲ ὅταν λέγῃ “τὰ δὲ γεννώμενα οὕτω δή,” εἰς τὸ δὴ ὑποστικτέον· οὕτω δὴ γὰρ λέγει, τουτέστι τὰ βραδέα, ἅπερ εἰσὶ γευστὰ καὶ ἁπτά. τῆς δὲ λευκότητος.

Tht 156e καὶ γάρ, φησίν, ἡ αὐτὴ αἴσθησις τῶν ἀντικειμένων οὐκ ἔστιν, οὐδὲ τὸ αὐτὸ αἰσθητὸν πάσης ἐστίν, ἀλλὰ μία ὄψις ἡ τοῦ λευκοῦ αἰσθητοῦ ἑνός. καὶ τὸ λευκὸν οὐ δύναται ἡ τοῦ μέλανος αἴσθησις ἀντιλαβέσθαι, ἀλλ’ ἡ τοῦ λευκοῦ, καὶ ἔμπαλιν. ἑκατέρου δὲ λέγει, οἷον τῆς τοῦ μέλανος ὄψεως ἐπὶ τὸ λευκὸν αἰσθητόν. ἐφεξῆς δὲ ὄψιν μὲν λέγει τὴν ὀπτικὴν δύναμιν, λευκότητα δὲ τὴν λευκαντικὴν δύναμιν. ἐξ ἀρχῆς.

Tht 157a ὅτε ἔλεγεν τάχος καὶ βραδύτης ἔνι καὶ πάλιν φθαρτός ἐστι, καὶ τὰ τοιαῦτα. χρῆσθαι αὐτῷ.

Tht 157b αὐτῷ· τῷ εἶναι, ὡς ὁ τῶν Πρωταγορείων. ἁθροισθέντων.

Tht 157b,bis ἀντὶ τοῦ συντεθέντων. διῇμεν ( BT: διήλθομεν W).

Tht 157d γρ. διῇμεν (W). μὴ τοίνυν κτλ.

Tht 157e ἔτι συνηγορῶν τῷ Πρωταγόρᾳ τὰς πρὸς αὐτὸν ἐνστάσεις δοκεῖ διαλύειν. ὀνειρώττοντες.

Tht 158b ἐντεῦθεν ἄρχεται διαλύειν τὰς πρὸς Πρωταγόραν ἐνστάσεις διὰ τὸ ἄπορον εἶναι τὸ περὶ τῶν ἐνυπνίων. οὕτως ἐρωτῶντες.

Tht 158e ἔτι συνηγορεῖ καὶ ἐν τούτοις τῷ τοῦ Πρωταγόρου δόγματι, λαμβάνων τρία αἰτήματα. μή πῄ τινα δύναμιν κτλ.

Tht 158e,bis οἷον 〈ὡσ〉 ἵππος καὶ ἄνθρωπος ταὐτόν ἐστι κατὰ τὸ αἰσθητικόν. ἀλλ’ οὐ λέγω, φησίν, οὕτως. πολλὰ μὲν εἴη.

Tht 159a ἐν τοῖς κατὰ τὸν Πρωταγόραν. ἐμαυτῷ τοιοῦτος.

Tht 160a κατὰ τὴν αἴσθησιν τοιοῦτος. κατὰ κοινοῦ δὲ ἡ ἄρνησις. ὅτε δὴ τό κτλ.

Tht 160c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὥστε, φησίν, οὐδὲν ἄτοπον συμβαίνει διὰ τὰς ἐνστάσεις, οἷον τὰς ὀνειρώξεις καὶ τὰ τοιαῦτα. κατὰ δὲ Θεαίτητον.

Tht 160d ἕπεται γὰρ ταῖς ἐκείνων θέσεσιν ὁ τοῦ Θεαιτήτου λόγος. ἀμφιδρόμια.

Tht 160e ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐκ γενέσεως, οὕτω κληθεῖσα παρ᾽ ὅσον ἐν ταύτῃ καθαιρόμεναι τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως, τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσιν τρέχουσαι κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ, δῶρά τε πέμπουσι τῷ παιδί, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας, οἵ τε φίλοι τε καὶ οἰκεῖοι καὶ ἁπλῶς οἱ προσήκοντες. τῆς Ἀληθείας. [5]

Tht 161c τὸ τοῦ Πρωταγόρου σύγγραμμα, ἐν ᾧ ταῦτα δοξάζει, Ἀλήθεια ἐκαλεῖτο ὑπὸ Πρωταγόρου. γυρίνου.

Tht 161c,bis τὸ ἐκ τοῦ βατράχου παιδίον. δημούμενον.

Tht 161e δημοκοποῦντα, παίζοντα, θωπεύοντα. διωλύγιος.

Tht 162a μεγάλη, ἢ ἐπὶ πολὺ διήκουσα. εἰ οὕτως .

Tht 162b .. σοι φίλον, οὐδ᾽ ἐμοὶ ἐχθρόν. παροιμία ἐπὶ τῶν ἔν τισι συμφερομένων. δημηγορεῖτε.

Tht 162d τὸν δοκοῦντα ἔλεγχον, ὃν ἄρτι ἔλεγεν ὁ Σωκράτης κατὰ Πρωταγόρου, ὅτε τοῦ κυνοκεφάλου ἐμέμνητο, δημηγορίαν νῦν καλεῖ, διὰ τῆς εἰρωνείας τὸν λόγον παραμυθησάμενος, ἵνα πάλιν διεγείρῃ τὸν νέον. εἰ ἐθέλοι κτλ.

Tht 162e καὶ γὰρ εἰ τὴν τῶν πολλῶν κρίσιν λάβοιμεν ἐπὶ γεωμετρίας κυρίαν, γελοῖοι ἂν ὦμεν, ἀσύμμετρα λέγοντες ἀλλήλοις μεγέθη, καὶ τὴν πεπερασμένην εὐθεῖαν διαιρετὴν εἶναι εἰς ἄπειρον, καὶ τὰ τοιαῦτα. ἐκ δὲ τῆς τῶν κυβευόντων συνηθείας ἔλαβε τὸ οὐδ᾽ ἑνὸς μόνου, ὅταν ἐκεῖ πέσῃ ἐν τῷ παίζειν ἓν τὸ ἐλάχιστον. ἐπιστήμη τε καὶ αἴσθησις. [5]

Tht 163a πρόκειται νῦν τῷ Σωκράτει ἐλέγξαι τὴν ἐξ ἀρχῆς θέσιν τοῦ Θεαιτήτου τιθεμένου τὴν ἐπιστήμην αἴσθησιν εἶναι. οὔτε αἰσθάνεσθαι κτλ.

Tht 163c καίτοι ἠδύνατο λέγειν, εἰ οὐκ ἐπίσταται ὁρῶν ὁ ἀγράμματος, ἄλλο ἐστὶν ἐπιστήμη καὶ ἄλλο ὅρασις ἤτοι αἴσθησις. εἴ τις ἔροιτο.

Tht 163d καὶ τοῦτο πειραστικόν ἐστιν δηλημάτου (l. δίλημμα τοῦ) ἑξῆς. τὸν πρόσθε.

Tht 164a τὸν τὴν αἴσθησιν θέμενον εἶναι ἐπιστήμην. φαινόμεθά μοι κτλ.

Tht 164c πάλιν ἐν τούτοις πρόκειται τῷ Σωκράτει ἀνακαλέσασθαι τὸν διὰ τὴν ἀπειρίαν ἑαυτοῦ κατασυλλογισθέντα Θεαίτητον. μῦθος ἀπώλετο.

Tht 164d παροιμία ἐπὶ τῶν τὴν διήγησιν μὴ ἐπὶ πέρας ἀγαγόντων. προπηλακίζομεν.

Tht 164e ἀδικοῦμεν, ὑβρίζομεν, διασύρομεν, ἐξουθενοῦμεν. σκέψαι οὖν.

Tht 165a πάλιν ἐπιχειρεῖ ἐλέγχειν ἐν τούτοις τὰ τοῦ Πρωταγόρου καὶ Θεαιτήτου δόγματα. πόρρωθεν δὲ μή.

Tht 165d [Start of a diagram] α′ συλλο〈γισμὸσ〉 ἐν γ′ σχή〈ματι〉 ἐπίστασθαι πᾶς οὐχ ὁρᾶν τίς ἀμβλύ β′ συλλο〈γισμὸσ〉 ἐν β′ σχή〈ματι〉 ὀξὺ καὶ ἀμβλύ οὐδείς ἐπίστασθαι τίς ὁρᾶν [End of a diagram] (T et Par. 1808: non habent B W.) λέγειν. [5]

Tht 165e κατὰ κοινοῦ τὸ ἐρεῖ. ἐξέλεγξον.

Tht 166c ἐκ τῶν δύο, φησί, θάτερον ἔλεγξον, εἴπερ δύνασαι· ἢ γὰρ ὡς οὐκ εἴσιν αἱ αἰσθήσεις ἴδιαι, ἢ τούτων ἰδίων οὐσῶν οὐκ ἔστι τὰ αἰσθητὰ ἴδια ἑκάστῳ. ὑηνεῖς.

Tht 166c,bis ὑεικόν τι καὶ ζωῶδες ποιεῖς. πολλοῦ δέω.

Tht 166d πόρρω λίαν εἰμί, οὐ βούλομαι λέγειν, σιωπῶ. τἀναντία.

Tht 166e

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ γὰρ τὴν Πρωταγόρου δόξαν τὸ μὲν αἰσθητὸν πᾶν δοκεῖ εἶναι, μὴ ὄν, τὸ δὲ δίκαιον τὸ καλόν ἐστι μέν, ἀλλ’ οὐ φύσει, θέσει δὲ μόνον, οἷον οἱ νόμοι παρ’ ἑκάστοις. μόνον τὸ ἀγαθὸν φύσει. ἀληθεῖς ἐμποιεῖν.

Tht 167c πρὸς τί γάρ, φησί, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὡς τὸ καλὸν καὶ τὸ δίκαιον; τὸ δὲ ἑξῆς, ὥσπερ, φησίν, ἡ κακὴ ψυχὴ δοξάζει συγγενῆ ἑαυτῇ πονηρά, οὕτως ἡ χρηστὴ χρηστά. ἑκατέρως δὲ τῇ δοκήσει τὸ ἀληθὲς καὶ πρός τι. σῴζεται γὰρ κτλ.

Tht 167d σῴζεται ὁ λόγος ὁ λέγων μέτρον πάντων εἶναι τὸν ἄνθρωπον. ἐν τούτοις δὲ τοῖς ἀγαθοῖς καὶ κακοῖς τοῖς ἀληθῆ μὲν δοξάζουσιν ἑκατέροις, διαφέρουσι δὲ τῷ χείρονι καὶ κρείττονι μόνῳ. πρεσβύτεροι.

Tht 168b οἱ γὰρ νέοι φιλόνεικοι. καί μοι εἰπέ κτλ.

Tht 168c τὸν Θεόδωρον νῦν παρακαλεῖ πρὸς τὴν διάλεξιν, ἵνα δι’ αὐτοῦ οἱ ἀληθεῖς ἔλεγχοι κατὰ Πρωταγόρου γένωνται. καὶ ἤτοι διὰ τὸ ἀξιόπιστον τοῦ πρεσβυτικοῦ προσώπου τοῦτο ποιεῖ, ἢ καταβάλλων τὸ τοῦ νέου, ὡς εἰκός. οἴημα. χαριεντισμόν.

Tht 168d χαριεντισμὸν ἀντὶ τοῦ παίγνιον. ὀλίγον.

Tht 169a μετὰ γὰρ τοὺς τοῦ Πρωταγόρου ἐλέγχους πάλιν ἐπὶ τὴν Θεαιτήτου μαιείαν ἀναδραμεῖται. μυρίοι γὰρ κτλ.

Tht 169b οἱ Θρασύμαχοι, Καλλικλεῖς, Διονυσόδωροι, Εὐθύδημοι, καὶ οἱ τοιοῦτοι. ὧν προτίθεσαι.

Tht 169c οἷον τοῦ ἐλέγχου μόνου, πλέον δὲ ἄλλο οὐδέν, οἷον τὰ περὶ ἐπιστήμης. ὥσπερ πρὸς Θεοὺς κτλ.

Tht 170a ἀντὶ τοῦ ἐκθειάζειν τοὺς ἐν ἑκάστοις ἐπιστήμονας· οἷον καὶ τὸ Ὁμηρικὸν “θεοῖς ἐναλίγκια μήδεα ἔχοντα” (ν 89) καὶ “ἶσος Ἐνυαλίῳ” (Χ 132) καὶ τὰ τοιαῦτα. ἄρχοντας.

Tht 170b οἷον ποιμένας, ἡνιόχους, κυνηγούς. τῷ λόγῳ.

Tht 170c τῷ κατασκευασθέντι τῷ ἐκ τῆς κοινῆς ἐννοίας τῶν πολλῶν. ὅταν σὺ κτλ.

Tht 170d οἷον περὶ προνοίας, περὶ τοῦ ἐφ’ ἡμῖν καὶ τῶν τοιούτων. οἷς μὴ δοκεῖ.

Tht 171a οὐ γάρ ἐστι ποιότης ἐν τοῖς τοιούτοις ποσοῖς. τότε καὶ ὁ κτλ.

Tht 171c ὅταν, φησίν, ὁ Πρωταγόρας συναίσθηται τῆς τοῦ λόγου ἀτοπίας. τὰ δοκοῦντα ἀεὶ ταῦτα λέγειν.

Tht 171d ἕπου θεῷ, ἕπου λόγῳ. τὰ μὲν πολλά.

Tht 171e τὰ σωματικὰ καὶ πρός τι. ἃ ἂν θῆται πόλις τὸ γὰρ συμφέρον, φησί, φύσει, ὁ δὲ νόμος θέσει.

Tht 172b,bis μὴ παντάπασι ἀντὶ τοῦ μὴ ἕως τοῦ ἀγαθοῦ καὶ κακοῦ. οὐκοῦν σχολὴν ἄγομεν κτλ.

Tht 172c σημείωσαι οἷα περὶ τῶν φιλοσοφούντων λέγει. τοῖς τοιούτοις.

Tht 172c,bis οἷον ἐργαστηρίοις, ἐμπορίαις. ἀντωμοσίαν.

Tht 172e ἀντωμοσία ἐπὶ δίκῃ λέγεται, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα ὅτι ἠδίκηται, τὸν δὲ ἐγκαλούμενον μὴ ἠδικηκέναι. οἱ δὲ ἀντωμοσίαν τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις καὶ ἀνεγγράφοις εἰς ὅρκον περιισταμένην δίκην, ἐφ’ οἷς οἱ κριταὶ δοξάζουσιν. ἔνιοι ὅταν ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν ὁ ἀντίδικος ἀντομνύηται, φάσκων προσποιεῖσθαι αὐτόν, καὶ περὶ τούτου διαλαμβάνωσιν οἱ δικασταί. τὴν ἄλλως.

Tht 172e,bis ἀντὶ τοῦ ματαίως καὶ ὡς ἔτυχεν. φαύλως διατρίβοντας.

Tht 173c οἷον τοὺς πολιτικούς. θαλάττης χόες.

Tht 173d παροιμία ἐπὶ τοῦ πολυμαθοῦς καὶ ἐμπείρου. φύσιν ἐρευνωμένη.

Tht 174a γενικῶς τὸ φθαρτόν. ἔμπροσθεν ( B T: ὄπισθεν W Iambl.

Tht 174a,bis Eus.). ὄπισθεν t: γρ. καὶ τὰ δ’ ἔμπροσθεν W. μανθάνεις γάρ που κτλ.

Tht 174b

ὅτι ἐν τούτοις τὸν ὡς ἀληθῶς μαθηματικὸν ἄνδρα εἰς ταὐτὸν ἄγει τῷ ὄντως φιλοσόφῳ, ἔτι δὲ καὶ τὸν φυσικόν, ἢ μᾶλλον ὡς μέρη τοῦ φιλοσόφου βούλεται εἶναι τοὺς ἄλλους ἐπιστήμονας. τῶν ἐν ὀφθαλμοῖς.

Tht 174c ἐπὶ τῶν ὑλαίων πραγμάτων καὶ εἰδωλικῶν. βδάλλοντα.

Tht 174d ἀμέλγοντα. βδάλλειν.

Tht 174d,bis ἀμέλγειν (B T: non habet W). γίγνεσθαι.

Tht 174e νομίζει γίγνεσθαι κατὰ κοινοῦ. θῶπας.

Tht 175e ἀπατηλούς (W: non habet T). ἀναβάλλεσθαι.

Tht 175e,bis τῶν γὰρ ἀπαιδεύτων καὶ τὸ ἔνδυμα καὶ τὸ σχῆμα θορυβῶδες. βάναυσοι.

Tht 176d βάναυσοι οἱ ἑδραῖοι τεχνῖται καὶ παρὰ βαύνῳ, ὃ σημαίνει καμίνῳ, τι ἔργον διατιθέμενοι. οἱ δὲ βάναυσον τὸν ἀπάνθρωπον καὶ ὑπερήφανον. ἔνιοι δὲ βαναύσου χειρὸς τῆς ὑβριστικῆς ἢ τεχνικῆς. δηλοῖ δὲ τοὺς χειροτέχνας καὶ δημιουργούς. τῷ οὖν ἀδικοῦντι κτλ.

Tht 176d,bis ἀλλὰ δεῖ ἐπιτιμᾶν αὐτοῖς, φησί, τὸ Ὁμηρικὸν "ἐτώσιον ἄχθος" (Σ 104). τὸ γὰρ φυσικὸν βάρος καλόν, τὸ δὲ ἄλλως καὶ μάταιον κακόν. παντάπασιν ὡς δεινοί.

Tht 177a τοὺς γὰρ τὰ συμφέροντα διδάσκοντας σοφοὺς οἱ δεινοὶ ὡς ἀνόητα φάσκοντας ἐκφαυλίζουσιν, ὡς ὁ τοῦ Ὁμήρου Πάρις ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί (Η 360, Μ 234). μὴ γὰρ λεγέτω τὸ ὄνομα.

Tht 177e ἀντὶ τοῦ μὴ ὄνομα μόνον ψιλὸν λέγωμεν, οἷον τὸ ὠφέλιμον καὶ βλαβερόν. εἰ περὶ παντὸς κτλ.

Tht 178a τὸ γὰρ ἁπλῶς μέλλον καθολικώτερον τοῦ ὠφελίμου. τοῦτο δὲ "μέλλον" ( W: μᾶλλον B T) κτλ.

Tht 178a,bis τοῦτο τὸ γενικὸν μεταλαβεῖν τὴν ἐρώτησιν, καὶ μὴ ἐπὶ μόνου τοῦ ὠφελίμου. ὦ μέλε.

Tht 178e ὦ μέλε παρὰ τοῖς νεωτέροις ὑπὸ γυναικῶν λέγεται μόνον, ὡς τὸ ὦ τάλαν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν, ὡς ἐν Ἱππεῦσιν Ἀριστοφάνους (676), καὶ ἐν Μενάνδρου Συνερῶσιν (fr. 457 Kock)— ἄφες τὸν ἄνθρωπον. τί κόπτεις, ὦ μέλε; σημαίνει δέ, ὦ δείλαιε, ὦ πονηρέ. ἔνιοι δέ, ὦ ἐπιμελείας ἄξιε καὶ οἷον μεμελημένε. καὶ οἱ φάσκοντες.

Tht 179c ἐντεῦθεν εἰσβάλλει εἰς τοὺς κατὰ τοῦ Ἡρακλείτου ἐλέγχους. εἰ γὰρ πάντα, φησί, κινεῖται συνεχῶς καὶ ἀόριστά ἐστι καὶ ἄστατα, ἡ Πρωταγόρου δόξα ἀνάλωτός ἐστιν. διακρούοντα.

Tht 179d ἐκ μεταφορᾶς τῶν διακωδωνούντων τὰ κεράμια, εἰ ἀκέραιά εἰσιν. ἔμπειροι.

Tht 179e ἀλλ' οὐκ ἐπιστήμονες διὰ τὸ ἄστατον τῶν ἀεὶ κινουμένων. ἀτεχνῶς.

Tht 179e,bis ἀτεχνῶς· ἁπλῶς ἢ καθάπαξ, ἰσχυρῶς ἢ τελέως· οἱ δὲ ἐν ἴσῳ τῷ ὄντι καὶ ἀληθείᾳ· οἱ δὲ δηλοῦν τὸ παράπαν καὶ καθόλου κατ' ἀλήθειαν. κατὰ τὰ συγγράμματα.

Tht 179e,ter τὰ τοῦ Ἡρακλείτου συγγράμματα. ἠγριωμένοι καὶ μεγαλόφρονες· τοιοῦτος γὰρ ὁ Ἡράκλειτος γέγονεν, οὗ καὶ ἀπόφθεγμα φέρεται τοιοῦτον "πολυμαθίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην" (Diels, Vorsokr. 5 22 B 40). τούτῳ.

Tht 180b τῷ στασίμῳ διὰ τὴν ἑαυτῶν θέσιν πάντα κινεῖσθαι λέγουσαν. πρόβλημα.

Tht 180c γεωμετρικῶς δεῖ, φησίν, ἐκθεμένους τὸ πρόβλημα ζητεῖν ἀποδεικτικῶς, πότερον πάντα κινεῖται ἢ οὔ. κατὰ σμικρὸν γὰρ κτλ.

Tht 180e ἀπὸ μὲν Θεαιτήτου εἰς Ἡράκλειτον, εἶτα εἰς Παρμενίδην καὶ Μέλισσον. ῥέοντας.

Tht 181a πικρὰ λέξις καὶ σκωπτική. στασιῶται.

Tht 181a,bis γλυκεῖα λέξις καὶ ἐγκωμιαστικὴ τῶν ἀμφὶ Παρμενίδην. ἀκίνητα κινούντων.

Tht 181b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

( 1) ἀκίνητα κινεῖν παροιμία καθ' ὑπερβολήν, ὅτι μὴ δεῖ ἕδη (sic) μηδὲ βωμοὺς κινεῖν ἢ τάφους ἢ ὅρους. ἐμνήσθη ταύτης καὶ ἐν νόμῳ (l. Νόμων) ὀγδόῳ (913 b). (2) ἔτι διασύρει τὸν Ἡρακλείτου χορὸν ὡς ἀσεβῆ· τὰ γὰρ ἱερὰ ἀκίνητα. στρέφηται. [5]

Tht 181c ὡς ὁ στρόβιλος. τὸ μέν τι ἀμφοτέρως.

Tht 181e ἔστι καὶ τρίτον σκέλος τῆς διαιρέσεως τὸ λέγον οὐδὲν ἀμφοτέρως, ὅπερ σὺν τῷ δευτέρῳ ἐλέγχεται. φάναι ἀμφοτέρως.

Tht 181e,bis ἀντὶ τοῦ τὰ πάντα κατὰ τὰς δύο κινοῦνται κινήσεις. φανεῖται.

Tht 181e,ter τὸ γὰρ μὴ ἀλλοιούμενον, καθ' ὃ οὐκ ἀλλοιοῦται, οὐ κινεῖται ἀλλ' ἵσταται. ἀλλόκοτόν τε.

Tht 182a ἐκ τούτου δῆλον ὅτι τὸ τῆς ποιότητος ὄνομα Πλάτων ἐστὶν ὁ πρῶτος θεὶς ἐν τοῖς Ἕλλησιν. ἁθρόον.

Tht 182a,bis γενικῶς. κατὰ μέρη.

Tht 182a,ter εἰδικῶς. τὰ μὲν τοίνυν ἄλλα.

Tht 182c τὰ τῶν Ἡρακλειτείων ἄλλα δοξάσματα. ὁμοίως ὀρθὴ εἶναι.

Tht 183a ἀντὶ τοῦ συνδραμεῖν τὴν ἀντίφασιν. οὐδὲ γὰρ τοῦτο.

Tht 183b εἰ γάρ, ὥς φασι, πάντα παντοίως κινεῖται, εἴ τι δ' ἄν τις εἴποι, οὐδ' ἐκεῖνο ἔσται, ἀλλὰ καὶ αὐτὴ αὐτῶν ἡ δόξα κινεῖται καὶ μεταβάλλεται. οἰκειοτάτη .

Tht 183b,bis .. διάλεκτος. ἡ λέγουσα ἀπειραχῶς τὸ οὐδὲ οὕτως. τοὺς φάσκοντας.

Tht 183d τοὺς περὶ Μέλισσον. ἱππέας εἰς πεδίον.

Tht 183d,bis παροιμία ἱππῆς (sic) προκαλεῖσθαι εἰς πεδίον, ἐπὶ τῶν τοὺς ἔν τισι βελτίους καὶ ἐπιστημονεστέρους αὑτῶν εἰς ἔριν παρακαλούντων. Πλάτων Θεαιτήτῳ καὶ Μένανδρος Καταψευδομένῳ (fr. 268 Kock). γράφεται δὲ καὶ ἵππον εἰς πεδίον προκαλεῖσθαι, ἐπὶ τῶν εἰς ἃ βούλεταί τις προκαλούντων. ἕνα ὄντα. [5]

Tht 183e ἀντί νυ πολλῶν λαῶν ἐστιν ἀνήρ, ὅν τε Ζεὺς κῆρι φιλήσῃ (I 116—17). βάθος τι.

Tht 184a φαίνεται καὶ Ἀριστοτέλης σεμνύνων τὸν Παρμενίδην. καὶ νῦν φησι φοβεῖσθαι ἕξ τινας καὶ διὰ τοῦτο μὴ ἐπιχειρεῖν βασανίζειν τὰ τοῦ Παρμενίδου. τῷ.

Tht 184b ἐρωτηματικὸν ἀντὶ τοῦ τίνι. πάντα τὰ τοιαῦτα.

Tht 184e πάντα τὰ τοιαῦτα λέγει τὰ αἰσθητά· εἰς τὸ σῶμα δέ, εἰς τὰ αἰσθητήρια. εἴ τι ἄρα κτλ.

Tht 185a τὴν διάνοιαν καὶ τὴν κοινὴν αἴσθησιν νῦν εἰς ταὐτὸν ἄγει διὰ τὸ πρόχειρον· καὶ μετ' ὀλίγον δὲ διαστέλλει. ἀμφοτέρω.

Tht 185b φωνὴν καὶ χρόαν. τό τ' ἐπὶ πᾶσι.

Tht 185c τὸ τῶν πέντε αἰσθήσεων γενικῶς. ποῖα ἀποδώσεις.

Tht 185c,bis τὸν ἐπὶ τούτοις ὁρισμόν. διὰ τίνος ποτέ.

Tht 185d νῦν τὸ διανοητικὸν ἐκ τῆς κοινῆς αἰσθήσεως διέκρινεν. τούτοις.

Tht 185d,bis τῇ τε κοινῇ αἰσθήσει καὶ τῇ διανοίᾳ. ποτέρων.

Tht 186a τῶν μετὰ σώματος ἢ τῶν ἄνευ σώματος. πρὸς τὰ μέλλοντα.

Tht 186b οἱ γὰρ πολλοὶ τὸ ἀγαθὸν ἐν τοῖς πρακτοῖς τίθενται μόνοις· καὶ διὰ τοῦτο εἶπεν οὕτω πρὸς μέλλοντα. θράττει.

Tht 187d ταράττεις, ἐνοχλεῖς. πῶς οὖν κτλ.

Tht 187e

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρία ἐπιχειρήματα κατὰ τῆς ψευδοδοξίας ἐκτίθεται· εἶτα προβὰς τῷ λόγῳ καὶ ἐπικρίνων λέγει ὅτι τὸ μὲν πρῶτον καὶ τὸ τρίτον δεῖταί τινος λύσεως, τὸ δὲ δεύτερον ἀποδέχεται, διότι μὴ ὂν ἐλάμβανε τὸ μηδαμῶς ὄν. ψευδῆ φαμεν.

Tht 187e,bis ἐπιχείρημα κατασκευάζον ὅτι οὐκ ἔστι ψευδῆς δόξα. ἆρ᾽ οὖν οὐ ταύτῃ.

Tht 188c οὐκ ἀπὸ τῶν γνώσεων, φησί, καὶ τῶν γινωσκόντων, ἀλλ᾽ ἀπὸ τῶν γνωστῶν. μὴ ἁπλοῦν ᾖ.

Tht 188d ὁμολογεῖται παρὰ πᾶσι, φησίν, ὅτι ὁ ψευδῆ δοξάζων τὰ μὴ ὄντα δοξάζει. ἐπιχείρημα κατασκευάζον ὅτι οὐκ ἔστι ψευδὴς δόξα. κἂν ὁπωσοῦν.

Tht 188d,bis κἂν ᾖ, φησίν, ἐπιστημονικώτατος. περὶ τῶν ὄντων του.

Tht 188d,ter περὶ τῶν ὄντων του· οἷον εἰ λέγοι τις πρὸς ἡμᾶς ἀπορῶν, “ἆρα ψευδοδοξῶν περί τινος τῶν ὄντων ψευδοδοξήσει, οἷον ἵππου, οἰόμενος τὸν ἵππον μὴ εἶναι, ἢ αὐτὸ τὸ μὴ ὂν λέγων, ἆρα ἔστι τὸ μὴ ὂν ἢ οὐκ ἔστιν;” ὀρθότατά μοι νῦν κτλ.

Tht 189c τὸ καθ᾽ ἑτερότητα μὴ ὂν λέγει. τοῦτο μὲν οὖν κτλ.

Tht 189d ὡς εἰ ἔλεγεν, οὐκ εἴσι τὰ τοιαῦτα ἁμαρτήματα μεγάλα. τῶν ἄλλων.

Tht 191a τῶν ἐνισταμένων κατὰ τῆς ψευδοδοξίας. ἐκτὸς τοῦ γελοίου.

Tht 191a,bis γελοῖόν ἐστι τὸ αἰσχρὸν μετὰ ἀσθενείας, αἰσχρὸν δὲ τὸ τὰ ψευδῆ ὁμολογεῖν, ἀσθένεια δὲ τὸ μὴ δύνασθαι τὰ σοφίσματα λύειν. ναυτιῶντες.

Tht 191a,ter διὰ τὸν τῆς ψυχῆς ἐν τῇ γενέσει κλύδωνα. ὁρῶν ἄλλον.

Tht 191b ἡ συμπλοκὴ τῆς αἰσθήσεως καὶ τῆς δόξης ἔλυσε τὸ ἄπορον. ἀπέστημεν αὐτοῦ.

Tht 191b,bis τοῦ ὁμολογεῖν εἶναι ψευδοδοξίαν. μὴ γὰρ οὕτω κτλ.

Tht 191b,ter μὴ οὕτω τιθῶμεν, φησίν, ὡς ἔμπροσθεν, καὶ ἡμῖν συγχωρήσει τις εἶναι δυνατὸν ἃ οἶδέν τις δοξάσαι αὐτὰ ἄττα εἶναι ὧν οὐκ οἶδεν· ἴσως δὲ ἀντιτενεῖ. καὶ γὰρ τοῦτο προσέθηκεν, εἰδὼς ὅτι κἂν ἐν μίξει τοῦ εἰδέναι πρὸς τὸ αἰσθάνεσθαι δείξωμεν ψευδῆ δόξαν ἐνοῦσαν, οὐχ ἕξομέν τι λέγειν πρὸς τὸν ἀποροῦντα περὶ τούτων, ἐπειδὰν ἡμᾶς ἐρωτᾷ περὶ τῶν ἔξω τῆς αἰσθήσεως, εἰ δυνατὸν συστῆναι ψευδοδοξίαν, οἷον ἐπὶ τῶν παρὰ τοῖς γεωμέτραις καλουμένων ψευδαρίων (l. ψευδαριθμῶν). οὐ γὰρ διὰ μίξιν αἰσθήσεως ψευδογραφοῦσιν. λάσιον. [5]

Tht 194e τὸ λάσιον οἱ φιλόσοφοι προ [spatium c. 10 litterarum] τοῦ τραχὺ ἀκούει. τὸ δὲ πάνσοφος ἡ εἰωθυῖα ἐστὶν τοῦ Σωκράτους εἰρωνεία· τὸ γὰρ λάσιον καὶ τραχὺ οὐκ ἔστιν ἐπαινετόν, ὥστε σκώπτει τὸν ἐπαινέσαντα Ὅμηρον. ὃν διανοούμεθα. [5]

Tht 195d τὸ νοητὸν παράδειγμα, τὴν ἰδέαν. ἀμφότερά γε.

Tht 196d τὸ τὴν ἀντίφασιν συντρέχειν. ἀναισχυντεῖν.

Tht 196d,bis τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. προὔργου.

Tht 197a συμφέρον ἢ πλέον. μὴ ἀπεχομένῳ.

Tht 197a,bis διὰ τοὺς ἀντιλογικούς. δείξειν αὐτό.

Tht 200e παροιμία· ὁ τὸν ποταμὸν καθηγούμενος, αὐτὸ δείξει. ἐπὶ τῶν ἐκ τῆς πείρας γινωσκομένων. κατιόντων γάρ τινων εἰς ποταμὸν πρὸς τὸ διαπεράσαι, ἤρετό τις τὸν προηγούμενον εἰ βάθος ἔχοι τὸ ὕδωρ· ὁ δὲ ἔφη “αὐτὸ δείξει”. τί μήν; καταφατικόν ἐστιν, ἐν ἴσῳ τὸ οἴομαι. [5]

Tht 206d ἐνεός. ἄφωνος. οἷον καὶ Ἡσίοδος κτλ.

Tht 207a Ἡσίοδος (O D 455)— φησὶ δ᾽ ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἅμαξαν νήπιος· οὐδὲ τὸ οἶδ᾽· ἑκατὸν δέ τε δούραθ᾽ ἁμάξης τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήϊα θέσθαι εὖτ᾽ ἂν δὴ πρώτιστ᾽ ἄροτος θνητοῖσι φανείη δὴ τότ᾽ ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτός. (T: non habet W.) Μυσῶν τὸν ἔσχατον. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Tht 209b παροιμία Μυσῶν ἔσχατος, ἐπὶ τῶν εὐτελεστάτων. Μάγνης Ποαστρείᾳ (fr. 5 Kock)— οὐκ ἔστιν οὐδείς, οὐδ' ὁ Μυσῶν ἔσχατος. καὶ Μένανδρος Ἀνδρογύνῳ (fr. 55 Kock)— Μυσῶν ἔσχατος πολέμιος. ὑπέρου .

Tht 209d .. περιτροπή. παροιμία ὑπέρου περιτροπὴ ἐπὶ τῶν 〈τ〉 αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀνυόντων, ἢ ἐπὶ τῶν ταχέως τι πραττόντων. μέμνηται δὲ αὐτῆς Φιλήμων ἐν Ἥρωσιν (fr. 30 Kock) καὶ ἐνταῦθα Πλάτων. ΕΙΣ ΤΟΝ ΣΟΦΙΣΤΗΝ ΣΟΦΙΣΤΗΣ.

Sph ad tit ὅτι σοφιστὴν καλεῖ ὁ Πλάτων καὶ τὸν 〈Ἔρωτα〉 καὶ τὸν Ἅιδην καὶ τὸν Δία, καὶ παγκάλην λέγει εἶναι τὴν σοφιστικὴν τέχνην· ὅθεν ὑπονοοῦμεν ὅτι γλαφυρωτέρου σκοποῦ ἔχεται ὁ διάλογος. ἔστι γὰρ κατὰ τὸν μέγαν Ἰάμβλιχον ὁ σκοπὸς νῦν περὶ τοῦ ὑπὸ σελήνην δημιουργοῦ. οὗτος γὰρ καὶ εἰδωλοποιὸς καὶ καθαρτὴς ψυχῶν, ἐναντίων λόγων ἀεὶ χωρίζων, μεταβλητικός, καὶ νέων πλουσίων ἔμμισθος θηρευτής, ψυχὰς ὑποδεχόμενος πλήρεις ἀλόγων ἄνωθεν ἰούσας, καὶ μισθὸν λαμβάνων παρ' αὐτῶν τὴν ζωοποιίαν τὴν κατὰ λόγον τῶν θνητῶν. οὗτος ἐνδέδεται τῷ μὴ ὄντι, τὰ ἔνυλα δημιουργῶν, καὶ τὸ ὡς ἀληθῶς ψεῦδος ἀσπαζόμενος, τὴν ὕλην· βλέπει δὲ εἰς τὸ ὄντως ὄν. οὗτός ἐστιν ὁ πολυκέφαλος, πολλὰς οὐσίας καὶ ζῳὰς προβεβλημένος, δι' ὧν κατασκευάζει τὴν ποικιλίαν τῆς γενέσεως. ὁ δ' αὐτὸς καὶ γόης, ὡς θέλγων τὰς ψυχὰς τοῖς φυσικοῖς λόγοις, ὡς δυσαποσπάστως ἔχειν ἀπὸ τῆς γενέσεως. καὶ γὰρ ὁ ἔρως γόης, καὶ ἡ φύσις ὑπό τινων μάγος κέκληται διὰ τὰς συμπαθείας καὶ ἀντιπαθείας τῶν φύσει. νῦν οὖν τὸν παντοδαπὸν σοφιστὴν βούλεται διδάσκειν. καὶ γὰρ καὶ ὁ φιλόσοφος σοφιστὴς ὡς μιμούμενος τόν τε οὐράνιον δημιουργὸν καὶ τὸν γενεσιουργόν. καὶ ἡ διαιρετικὴ μιμεῖται τὴν ἀπὸ τοῦ ἑνὸς τῶν ὄντων πρόοδον, καὶ ὁ γενεσιουργὸς τὸν οὐράνιον δημιουργόν· διὸ καὶ σοφιστής. καὶ αὐτὸς δὲ ὁ σοφιστὴς ἄνθρωπος ὢν διὰ τὸ τὰ μεγάλα μιμεῖσθαι σοφιστὴς καλεῖται· ὅθεν καὶ τὸν σοφιστὴν πολυκέφαλον εἴρηκεν. ὁ δὲ ξένος εἰς τύπον τοῦ πατρὸς τῶν δημιουργῶν νοείσθω ὑπερουράνιος καὶ ἐξῃρημένος, οἱ δὲ ἀκροαταὶ εἰς τὰς δημιουργικὰς νοήσεις, ὁ μὲν εἰς τὴν τοῦ Διός, ὁ δὲ εἰς τὴν ἀγγελικὴν ὡς Ἑρμαϊκὸς καὶ γεωμετρικός. καὶ ἐπεὶ ἡ δημιουργία ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον, διὰ τοῦτο πρῶτον ὁ ξένος τῷ Θεοδώρῳ συγγίνεται, εἶτα δι' ἐπιστροφῆς τῷ διίῳ Σωκράτει. ἐξ Ἐλέας.

Sph 216a Ἐλέα πόλις ἐν Ἰταλίᾳ. τὸν Ὁμήρου λόγον.

Sph 216a,bis τὸ μὲν Ὁμηρικὸν ἔχει (ρ 485) "καί τε θεοὶ ξείνοισιν ἐοικότες" καὶ τὰ ἑξῆς. ὁ δὲ Σωκράτης νῦν, συμφωνῶν ἑαυτῷ ἐν τῇ Πολιτείᾳ, πραότερον ἐπιρραπίζει τὸν τοῦ Ὁμήρου λόγον διὰ τοῦ "συνοπαδὸν γινόμενον." τὸ γὰρ μεταμορφοῦσθαι θεὸν ὡς ἀπατηλὸν ἐκβάλλει τῆς ἑαυτοῦ πολιτείας Πλάτων. τοῦ μηδενός.

Sph 216c παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων. (T: non habet W.) ἀλλὰ μὴν κτλ.

Sph 219a [Start of a diagram] ἡ καθόλου τέχνη ποιητικὴ διὰ τὴν τοῦ νοῦ πρόοδον κτητικὴ διὰ τὴν τοῦ νοῦ ἐπιστροφήν τὸ κτητικόν χειρωτικόν μεταβλητικόν θηρευτικόν ἀγωνιστικόν ἀψύχων ζωοθηρικόν πεζοθηρικόν ὑγροθηρικόν [End of a diagram] [Start of a diagram] τὸ ὑγροθηρευτικόν ἔνυδρον πτηνόν ἑρκοθηρικόν πληκτικόν πυρευτικόν ἀγκιστρευτικόν τριοδοντιακόν ἀσπαλιευτικόν [End of a diagram] T: eadem fere B, sed minus accurate descripta: non habet W. ἄττα.

Sph 220a ἀ̋ττα (sic)· τοῦτο ψιλούμενον μέν τινα σημαίνει, δασυνόμενον δὲ ἅτινα, ὡς Δημοσθένης δηλοῖ ἐν τῷ τῆς παραπρεσβείας (XIX 304) "ὁ δὲ πρεσβεύων Αἰσχίνης οὑτοσὶ ἐλθὼν πῶς μὲν καὶ ἅττα (sic) ποτὲ διελέχθη;" ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται, ὡς ἐν Χείρωνι Φερεκράτης (fr. 151 Kock) "τοῖς δέκα ταλάντοις ἄλλα προστίθησιν, ἔφη ἄττα πεντήκοντα·" οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα. Ἀριστοφάνης Ἱππεῦσιν (immo Nub. 630) ὅστις καλ' ἀθύρμασι (sic) ἅττα μικρὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μανθάνων. Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι· πυθοῦ χελιδὼν κάποθ’ (sic) ἄττα φαίνεται, καὶ πάλιν ὁπηνικαάττ’ (sic) ὑμεῖς κοπιᾶτε ὀρχούμενοι. ἄτοπος.

Sph 239c ἄτοπον τὸ θαυμαστὸν Πλάτων ἐν Θεαιτήτῳ (142 b) “οὐδέν γ’ ἄτοπον ἀλλὰ πολὺ θαυμαστότερον ἦν”· ἐσαφηνίσθη γὰρ διὰ τῆς ἀντιθέσεως. τάττεται καὶ ἐπὶ τοῦ ἀνυπόπτου· Εὔπολις Μαρικᾷ (fr. 180 Kock)— καὶ πολλὰ ἀγαθ’ ἐν τοῖσι κουρίοις ἐγὼ ἀτόπως καθίζων κοὐδὲ γινώσκειν δοκῶν. ἀντὶ τοῦ ἀνυπόπτως. τυφλῷ.

Sph 241d παροιμία καὶ τυφλῷ δῆλον ἐπὶ τῶν ἄγαν σαφεστάτων. μέμνηται ταύτης καὶ Μένανδρος Δεισιδαίμονι (fr. 111 Kock) καὶ Ἀριστοφάνης Πλούτῳ (48). ἦν.

Sph 243b ἀντὶ τοῦ ἤμην Ἀττικῶς. ἵν’.

Sph 243b,bis ὅπου. κατὰ πόδα.

Sph 243d παρ’ αὐτά, κατὰ τάξιν. τί μήν; κατάφασιν δηλοῖ ἀντὶ τοῦ πῶς γὰρ οὔ; διὰ τί γὰρ οὔ.

Sph 252c Εὐρυκλέα. ( 1) παροιμία Εὐρυκλῆς ἐπὶ τῶν ἑαυτοῖς κακὰ μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαίμονά τινα ἐν τῇ γαστρὶ ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν καὶ ἐγγαστρίμυθος ἐκαλεῖτο. οὗτος δὲ προειπὼν ποτὲ τινὶ τὰ μὴ καθ’ ἡδονὴν κακῶς ἀπήλλαξεν. ἄτοπον δὲ τὸν μὴ ἑδραῖον ἀλλ’ ἀεὶ ἐκτοπίζοντα λέγει. (2) παροιμία ἐπὶ τῶν ἑαυτοῖς τινα κακὰ μαντευομένων, λεγομένη ἐξ Εὐρυκλέους ἐγγαστριμύθου μάντεως, ἀφ’ οὗ καὶ γένος τι μάντεων Εὐρυκλεῖς ἔλεγον. ἐγγαστρίμυθος δέ ἐστιν ὁ ἐν γαστρὶ μαντευόμενος. τοῦτον καὶ ἐγγαστρίμαντιν ὃν νῦν τινες Πύθωνά φασι, Σοφοκλῆς δὲ στερνόμαντιν (fr. 59 Pearson), καὶ Ἀριστοφάνης ἐν Σφηξὶ (1019)— μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν. Φιλόχορος δὲ ἐν τρίτῳ (F H G I 416, 192) καὶ γυναῖκας ἐγγαστριμύθους φησίν. ἁμῇ γέ πῃ.

Sph 259d ὁπωσδήποτε, καθ’ ὁτιοῦν, λέγεται δὲ καὶ ἁμωσγέπως, καὶ ἁμόθεν, καὶ ἁμουγέπου, καὶ ἁμοιγέποι καὶ ἁμοσέποι. ΕΙΣ ΤΟΝ ΠΟΛΙΤΙΚΟΝ εἶεν.

Plt 257a ( 1) ἄγε δή. ἢ συγκατάθεσις τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. (2) εἶεν· ἀναφώνημα ὅμοιον τῷ ἀλλά. τὸν μέν.

Plt 257d τὸν Θεαίτητον. τοῦ δ’.

Plt 257d,bis τοῦ νέου Σωκράτους. εἶδός τε καὶ μέρος.

Plt 263b ση〈μείωσαι〉 ὅτι ἐπὶ πλέον τὸ μέρος τοῦ εἴδους. του.

Plt 263b,bis τινος. ἠνυκέναι βραδύτερον.

Plt 264b παροιμία πρὸς τοὺς σπεύδοντας, βραδύτερον δὲ τῷ σπεύδειν συντελοῦντας. διχάζειν.

Plt 264d δίχα σχίζειν. (T: non habet W.) νεαλέστεροι.

Plt 265b νεαλὴς ὁ πρόσφατος. κυρίως δὲ ἐπὶ τῶν ἁλσὶ πατουμένων ἡ λέξις. ἔτι δὲ καὶ ὁ νεωστὶ ἑαλωκὼς ἰχθύς, καὶ δὴ καὶ ὁ νεωστὶ ἁλισθείς. ἵνα μή με φθῇς ( Stephanus e Ficino: μ’ ἔφθης B W: μεμφθῇς T).

Plt 266d γρ. ἵνα μὴ μεμφθῇ. (W: non habet T.) σφεῖς.

Plt 268a αὐτοί. δεδέηκεν ( B W: δεδε ηκε ηλω T).

Plt 277d γρ. καὶ δεδήλωκεν (W). πιλητικήν.

Plt 280c τὴν ἐξ ἐρίων πίλησιν. (W: non habet T.) εἶεν.

Plt 283b ἀναφώνημα ὅμοιον τῷ ἀλλά. κομψῶν.

Plt 285a κομψός· τωθαστής, γελοιαστής, σκωπτικός· ἢ καλός, ἢ μέτριος. ἧ που.

Plt 285d ἴσως, σχεδόν. ἤπουγε· πολλῷ πλέον. γέ τινος ( W: γ τ έ τινος T: γείτονος B).

Plt 290d γρ. καὶ γείτονος (καὶ om. T). ση〈μείωσαι〉 ὅτι οἱ τῶν Αἰγυπτίων βασιλεῖς πάντες ἱερεῖς ἦσαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Plt 298e κύρβεσι. τρίγωνοι πίνακες ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι ἐγγεγραμμένοι ἦσαν καὶ πολιτικοί· ἄξονες δὲ τετράγωνοι ἐν οἷς οἱ περὶ τῶν ἰδιωτικῶν. τινὲς δὲ ἀδιάφορα ταῦτά φασιν. δεύτερος πλοῦς.

Plt 300c δεύτερος πλοῦς ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων· παρ’ ὅσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον. ἐμνήσθη ταύτης ἐν Φαίδωνι (99 d)· τὸν δεύτερόν φασι πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν· καὶ Ἀριστοτέλης ἐν τῷ β′ τῶν Ἠθικῶν (1109 a 34) καὶ Μένανδρος Κεκρυφάλῳ (fr. 279 Kock) καὶ Πλοκίῳ (fr. 241 Kock) καὶ Θεοφορουμένῃ (fr. 228 Kock). ση〈μείωσαι〉 περὶ χρυσοῦ ἑψήσεως (ἐψ. [5]

Plt 303e χρ. W). βλακικά.

Plt 307c εὐήθη, μωρά, ἀνόητα, ἀπὸ ἰχθύος καλουμένου βλακός, ὁμοίου σιλούρῳ, ἀχρήστου τοσοῦτον ὡς μηδὲ κυνὶ βρώσιμον εἶναι. οἱ δὲ ἀπὸ τοῦ ἐν Κύμῃ χωρίου, τῆς Βλακείας. εὐήτριον.

Plt 310e ἱμάτιον εὐϋφές. ἤτριον δὲ ἔνδυμα ὑμενῶδες. ΕΙΣ ΤΟΝ ΠΑΡΜΕΝΙΔΗΝ ἐκ Κλαζομενῶν.

Prm 126a Κλαζομέναι πόλις Ἰωνίας. ἐν Μελίτῃ.

Prm 126c Μελίτη δῆμος Κεκροπίδος. Παναθήναια.

Prm 127a ἡ τῶν Παναθηναίων ἑορτὴ καὶ ὁ ἀγὼν ἐτέθη μὲν πρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίστου καὶ τῆς Ἀθηνᾶς, ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια, οὐ πρεσβύτερος, καὶ ἀγένειος ἀνήρ. τῷ δὲ νικῶντι διδόασιν ἔλαιον ἐν ἀμφορεῦσιν, καὶ στεφανοῦσιν αὐτὸν ἐλαίᾳ πλεκτῇ. παιδικά. [5]

Prm 127b καὶ ἐπὶ θηλειῶν καὶ ἐπὶ ἀρρένων ἐρωμένων ἡ λέξις εὕρηται, κατὰ μεταφορὰν δὲ τὴν ἀπὸ τούτων καὶ ἐπὶ πάντων τῶν σπουδαζομένων πάνυ· ᾗ καὶ ἐν Φαίδρῳ λέγεται (236 b)· “Ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην, ἐρεσχηλῶν σε” ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. Κεραμεικῷ. [5]

Prm 127c τόπος Ἀθήνῃσιν, ἔνθα καὶ οἱ πόρνοι προειστήκεσαν, εἰσὶ δὲ δύο Κεραμεικοί, ὁ μὲν ἔξω τείχους, ὁ δὲ ἐντός. εἰ πολλά ἐστι κτλ.

Prm 127e τὸ τοῦ Ζήνωνος πρῶτον ἐπιχείρημα· εἰ πολλὰ τὰ ὄντα, τὸ αὐτὸ ὅμοιον καὶ ἀνόμοιον, ἀλλὰ μὴν ἀδύνατον τὸ αὐτὸ ὅμοιον εἶναι καὶ ἀνόμοιον. οὐκ ἄρα πολλὰ τὰ ὄντα. ἄγασθαι.

Prm 130b θαυμάζεσθαι. ἔθραξε.

Prm 130d ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν. τινα βυθόν ( sic B: τινα ἀβῦθον T: τινα ἄβυθον W).

Prm 130d,bis γρ. καὶ πολλήν. (γρ. καὶ om. T.) ἡδέως.

Prm 131b ἀντὶ τοῦ κατὰ φύσιν νῦν. σημαίνει δὲ ἔστιν ὅτε καὶ τὸ εὐήθως καὶ τὸ γελοίως. τὸ δεινότερον οὐχ ὡς ἰσχυρότερον ἄπορον, ὡς εἰώθασι δεινοὺς λέγειν τοὺς κρατοῦντας τῇ δυνάμει τῶν λόγων, ἀλλ’ ὡς μείζονος δείματος καὶ εὐλαβείας τοῖς νοῦν ἔχουσιν ἄξιον.

Prm 136e τὸ τοῦ Ἰβυκείου ἵππου. τὸ τοῦ μελοποιοῦ Ἰβύκου ῥητόν (fr. 7 Diehl) “Ἔρως αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακερά, ὄμμασι δερκόμενος κηλήμασι παντοδαποῖς, εἰς ἄπειρα δίκτυα Κύπριδος βάλλει· ἦ μὰν τρομέων ἵν’ ἐπερχόμενον ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραϊ ἀσκῶν, σὺν συνοχέσι θοοῖς εἰς ἅμιλλαν ἔβα.” διανεῦσαι. [5]

Prm 137a περαιωθῆναι. τῳ ( Bekker: τῷ T Y: τὸ W: αὐτῷ B) αὐτό.

Prm 140d γρ. καὶ αὐτῷ αὐτό (W). ἀνήσει.

Prm 162a ἀφήσει ἢ ἀναπείσει. ΕΙΣ ΤΟΝ ΦΙΛΗΒΟΝ πεισόμεθα ( Badham: πειρόμεθα B: πειρασόμεθα TW).

Phlb 13c γρ. καὶ πειρώμεθα (W: non habet T). ὥσπερ μῦθος ἀπολόμενος.

Phlb 14a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παροιμία ὁ μῦθος ἀπώλετο. τούτῳ χρῶνται τῷ λόγῳ οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας. μέμνηται δὲ αὐτῆς καὶ Κρατῖνος ἐν Δραπέτισι (fr. 59 Kock) καὶ Κράτης Λαμείᾳ (l. Λαμίᾳ: fr. 21 Kock). μὴ κινεῖν εὖ κείμενον.

Phlb 15c παροιμία μὴ κινεῖν κακὸν εὖ κείμενον, ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀνοίας πράγματα ἐγειρόντων. ταύτης μέμνηται Ὑπερείδης ὁ ῥήτωρ ἐν τῷ πρὸς Ἀριστογείτονα (fr. 30 Blass)· “καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μανθάνειν τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον.” μετῆκται δὲ ἐκ τοῦ ἐν Ῥόδῳ Κολοσσοῦ, ὃς πεσὼν πολλὰς οἰκίας κατέσεισεν. βασιλέως οὖν βουλομένου αὐτὸν ἀναστῆσαι, φοβούμενοι οἱ Ῥόδιοι μὴ πάλιν καταπέσῃ, τὸ προκείμενον ἐπεφθέγξαντο. δεύτερος πλοῦς.

Phlb 19c παροιμία δεύτερος πλοῦς ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων, παρ’ ὅσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον. μέμνηται ταύτης Πλάτων καὶ ἐν Φαίδωνι (99 d) “τὸν δεύτερόν φασι πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν.” ὁμοία δὲ αὐτῇ καὶ αὕτη· τῆς δευτέρας ἢ ὑστέρας ἐφόδου. ἔχοντ’ ( T W: ἐχόντων B).

Phlb 26b γρ. καὶ ἐχόντων (W). ἕτερον ( B: λέγωμεν T W).

Phlb 27b γρ. καὶ ἕτερον (W). νῦν μέντοι ( T W: μὲν τοίνυν B).

Phlb 28b γρ. καὶ μεντοίνυν (W). τί μήν; καταφατικόν ἐστιν ἐν ἴσῳ τῷ οἴομαι.

Phlb 30e γένους τῆς ( B: γενούστης T.) γενούστης ὁ οἷον γεννήτης, ἢ συγγενής, ἢ ἔγγονος, ὧν τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον, ἢ ὁ οἷον γεννητικός. γεννῆται δὲ οὐχ οἱ ἐκ τοῦ γένους καὶ ἀφ’ αἵματος προσήκοντες, ἀλλ’ οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας. οὗτοι δέ εἰσι, καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λʹ. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττοῖ, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, τὰς μὲν φυλὰς δʹ κατὰ τὰς ὥρας τοῦ ἐνιαυτοῦ, τὰς δὲ φρατρίας καὶ τριττύας δυοκαίδεκα, οἷον μῆνας, τὰ δὲ γένη λʹ ἑκάστῃ φρατρίᾳ, καθάπερ ἡμέρας τξʹ. δωδεκάκις γὰρ λʹ τξʹ. λήθη μνήμης ἔξοδος.

Phlb 33e ὅρος λήθης. (W: non habet T.) τί μήν; καταφατικόν ἐστιν, ἐν ἴσῳ τὸ οἶμαι.

Phlb 34a οὐκ ἀπὸ τρόπου. οὐ πόρρω τρόπου. μνήμης.

Phlb 34b ὄρος (sic) μνήμης. (W: non habet T.) τῷ.

Phlb 35c τίνι. (T: non habet W.) μηνύει ( B T: δεικνύει W.

Phlb 35c,bis ) γρ. μηνύει W. τί μήν; καταφατικόν ἐστιν ἐν ἴσῳ τὸ οἶμαι.

Phlb 44c πείθεσθαι ( B T: βούλεσθαι W). γρ. καὶ πείθεσθαι W. μηδὲν ἄγαν.

Phlb 45e παροιμία. ἑνὸς τῶν ἑπτὰ σοφῶν τὸ ἀπόφθεγμα ὅμοιον τῷ μηδὲν ὑπὲρ τὸ μέτρον. πέλας.

Phlb 48b τοῦτο τοπικῶς τάσσεται καὶ χρονικῶς καὶ ἐπὶ συγγενείας. Θουκυδίδης γοῦν ἐπὶ Κερκυραίων εἴρηκεν πέλας ( I 32), διὰ τὸ σύνεγγυς εἶναι ἀλλήλοις τὰ ναυτικά. γνῶθι σαυτόν.

Phlb 48c παροιμία γνῶθι σαυτόν, ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων. λέγουσι δὲ οἱ μὲν Χίλωνος εἶναι τὸ ἀπόφθεγμα, οἱ δὲ Λάβυος εὐνούχου τινὸς νεωκόρου· οἱ δέ φασιν ὅτι Χίλωνος ἐρομένου τὸν θεὸν τί εἴη ἄριστον, εἶπεν ἡ Πυθία· τὸ γνῶθι σαὐτόν. λήθη ( T W: ἀληθῆ B).

Phlb 52b γρ. ἀληθῆ (W). κομψοί.

Phlb 53c τωθασταί, γελοιασταί, σκωπτικοί, ἢ καλοὶ ἢ μέτριοι. σεμνότατον.

Phlb 53d θαυμαστότατον καὶ ἄξιον ἐντροπῆς, ἀξιωματικώτατον. προσαγωγίῳ.

Phlb 56c τεκτονικὸν ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα. τευταζόντων.

Phlb 56e πραγματευομένων, ἐπὶ πολὺ διατριβόντων ἐν τῷ αὐτῷ, φροντιζόντων, ἢ ἐπιστροφῶς τι πραττόντων, ἢ ἐνεργούντων, ἢ σπουδαζόντων· ἃ πάντα δυνατὸν ἐπὶ τοῦ παρόντος ἐκδέξασθαι. σημαίνει δὲ καὶ τὸ ἡσυχαζόντων, καὶ ἔτι τὸ σκευωρουμένων, ἢ στραγ〈γ〉ευομένων, ὅ ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκολιῶς (sic: l. σχολαίως) διακειμένων, πρὸς τούτοις καὶ ταυτολογούντων ἢ φλυαρούντων· πολύσημος γὰρ ἡ λέξις ἥδε. ὁλκήν ( B T: ἀκοήν W t).

Phlb 57d γρ. καὶ ὁλκήν (W). εἶεν.

Phlb 59d ἀναφώνημα ὅμοιον τῷ ἀλλά. δὶς καὶ τρίς.

Phlb 60a δὶς καὶ τρὶς τὸ καλόν· παροιμία ὅτι χρὴ περὶ τῶν κ〈αλῶν〉 πολλάκις λέγειν. οἱ.

Phlb 60d οἷ περισπωμένως ἑαυτῷ, ὡς νῦν· ὀξυτόνως δὲ οὗτοι. σημαίνει δὲ καὶ τὸ ὅπου. ἵν’.

Phlb 61b ὅπου. (W: non habet T.) δόξαν.

Phlb 61d δόξα σημαίνει τὸν παρὰ τῶν πολλῶν ἔπαινον. τάττεται δὲ καὶ ἀντὶ τῆς δοκήσεως, τοῦτέστιν (sic) ἀντὶ τῆς κατ’ ἀρετὴν ὑπολήψεως. διαφέρει δὲ εὐκλείας, ἐπεὶ νου κατὰ δόξαν ἐστὶ παρὰ τῶν ἀγαθῶν, δόξα δὲ ὁ παρὰ τῶν πολλῶν ἔπαινος. μισγαγκείας.

Phlb 62d μισγάγκεια ἡ μῖξις, ὅπου ποταμοὶ ἢ ῥύακες συμβάλλουσιν. τὴν ἀίδιον.

Phlb 66a γρ. καί τινα ἥδιον (W). γενεᾶς (γενέσεως Stobaeus).

Phlb 66b γρ. καὶ γενναίας (W). τὸ τρίτον τῷ σωτῆρι.

Phlb 66d ἐκ μεταφορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους· Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι (fr. 425 Pearson). ἐκιρνῶντο γὰρ ἐν αὐταῖς κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, ὡς ἐνταῦθά τε καὶ δὴ ἐν Πολιτείᾳ (583 b). ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ (TGF fr. 148) καὶ Ἀριστοφάνης Ταγηνισταῖς (fr. 526 Kock). ΕΙΣ ΤΟ ΣΥΜΠΟΣΙΟΝ Φαληρεύς.

Smp 172a Φάληρον δῆμος Αἰαντίδος, ἐξ οὗ Ἀπολλόδωρος. Κυδαθηναιεύς.

Smp 173b Κυδαθήναιον δῆμος ἐν ἄστει τῆς Πανδιονίδος φυλῆς καλεῖται δὲ καὶ Κύδαθον, ἐξ οὗ Ἀριστόδημος. βλαύτας.

Smp 174a ὑποδήματα. οἱ δὲ βλαύτια ( sic), σανδάλια ἰσχνά. αὐτόματοι ἀγαθοὶ κτλ.

Smp 174b παροιμία αὐτόματοι δ’ ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴωσιν. ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ᾧ ὅτε ἑστιῶντο τῷ Κήϋκι ξένους ἐπέστη. Κρατῖνος δὲ ἐν Πυλαίᾳ (fr. 169 Kock) μεταλλάξας αὐτὴν ἀναγράφει οὕτως· οἱ δ’ αὖθ’ ἡμεῖς ὡς ὁ παλαιὸς λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι κομψῶν ἐπὶ δαῖτα θεατῶν. καὶ Εὔπολις ἐν Χρυσογένει (l. Χρυσῷ γένει fr. 289 Kock). ἵνα.

Smp 175a ὅπου. ἐκ τῆς πληρεστέρας.

Smp 175d παροιμία ὅτι χρὴ μεταλαγχάνειν τοὺς οὐκ ἔχοντας παρὰ τῶν ἐχόντων. ῥᾷστα ( B T W).

Smp 176b γρ. ἥδιστα. (T: non habet W.) τὸν Μυρινούσιον ( sic T W: Μυρρινούσιον B).

Smp 176d Μυρινοῦς (sic) δῆμος Αἰγηΐδος, ἀφ’ ἧς ὁ Φαῖδρος. παίωνας (παίονας B T: παιᾶνας b t: παία ω νας W).

Smp 177a ἢ τοὺς λεγομένους παιᾶνας ὕμνους εἰς Ἀπόλλωνα ἐπὶ καταπαύσει λοιμοῦ. ἢ Παιήονα τὸν θεῶν ἰατρόν. ἢ παίονας, ὡς νῦν, ᾠδὰς ἐπὶ εὐτυχίᾳ καὶ νίκῃ. καταλογάδην.

Smp 177b πεζῷ λόγῳ. ἀτεχνῶς.

Smp 179b ἁπλῶς, ἢ καθάπαξ, ἰσχυρῶς, ἢ τελέως. οἱ δὲ ἐν ἴσῳ τῷ ὄντι καὶ ἀληθείᾳ. οἱ δὲ δηλοῦν τὸ παράπαν καὶ καθόλου κατ’ ἀλήθειαν. Ἄλκηστις.

Smp 179b,bis ἡ περὶ τῆς Ἀλκήστιδος ὑπόθεσις τοιαύτη τίς ἐστιν. Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ’ οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγεν. μὴ βουλομένου δὲ ἐκείνου ἔδειξεν ἣν ἐπέλθῃ. Ἄλκηστις ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασῴζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ’ οὐδετέρῳ κεῖται ἡ μυθοποιία. ἐνθυμηθέντι ( B T W).

Smp 182d γρ. καὶ ἐνεθυμήθην. ἃ εἴ ( T W: αἰεὶ B).

Smp 182e γρ. καὶ αἰεὶ (W). ἀφροδίσιον γὰρ ὅρκον κτλ.

Smp 183b παροιμία Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι’ ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος, λέγων (fr. 187 Rzach)— ἐκ τοῦδ’ ὅρκον ἔθηκεν ἀμείνονα ἀνθρώποισι νοσφιδίων ἔργων περὶ Κύπριδος [ἀφροδισίων], καὶ Πλάτων ἐν Συμποσίῳ. βασανίζειν.

Smp 184a δοκιμάζειν, διακρίνειν. μετενήνεκται δὲ ἀπὸ τῆς Λυδῆς λίθου δι’ ἧς ὁ χρυσὸς βασανίζεται, τουτέστι δοκιμάζεται. ἐκ τοῦ παραχρῆμα.

Smp 185c ἐκ τοῦ αὐτομάτου, ἐκ τοῦ προχείρου. ἐὰν μέν σοι ἐθέλῃ κτλ.

Smp 185d ( 1) ση〈μείωσαι〉 τὰς θεραπείας τῆς λυγγός. (2) περὶ λυγμοῦ· τὸ τοῦ λυγμοῦ σύμπτωμα ἐπιγίγνεται τῷ στομάχῳ διὰ πλήρωσιν ἢ κένωσιν ἢ ψῦξιν, ἐνίοτε δὲ καὶ διὰ δῆξιν δριμέων ὑγρῶν καὶ φαρμακώδων ταῖς ποιότησιν· οὓς ἐὰν ἐμοῦσιν αὐτίκα παύονται λύζοντες. πολλοὶ καὶ τὸ διὰ τριῶν πεπερέων πιόντες ἢ αὐτὸ τὸ πέπερι, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον, αὐτίκα λύζουσιν. καὶ τροφῆς δὲ διαφθαρείσης εἰς δακνώδη ποιότητα ἔνιοι λύζουσιν. καὶ ῥιγώσαντες δὲ τὸ στόμα τῆς κοιλίας ἔνιοι λύζουσι, καὶ μάλιστά γε τοῖς παισὶ συμβαίνει λύζειν συνεχῶς ἐπὶ τῇ τοῦ στομάχου ψύξει καὶ τῇ τῆς τροφῆς διαφθορᾷ. γίγνεται δὲ λυγμὸς καὶ ἐν πυρετοῖς καὶ μάλιστα φλεγμαίνοντος στομάχου ἢ ἑτέρου σπλάγχνου. ψύξεως μὲν οὖν προηγησαμένης τοῦ λυγμοῦ ἐπιτίθει τῷ στομάχῳ ἐν ἐρίῳ ἔλαιον, ἐν ᾧ ἐψῶμεν (sic) κύμινον, πήγανον, ἀψίνθιον· δίδου δὲ ποτὸν πήγανον μετ’ οἴνου ἢ σεύτλου ἑψημένου μελικράτῳ. καλὸν δὲ καὶ τὸ σκιλλητικὸν ὄξος καταροφούμενον. τὸ δὲ καστόρειον καὶ τοῖς διὰ ψῦξιν λύζουσιν τελείοις δίδου, καὶ τοῖς ἐπὶ πλήθει χυμῶν τοῦτο πάσχουσιν, δι’ ὀξυκράτου κεράτια ιη′. ὅταν δὲ ὑπὸ πληρώσεως λυγμὸς γένηται, ἔμετος τούτοις ἴαμα καὶ τῶν ἄκρων τρίψις καὶ πνεύματος κατοχή. ἀνακογχυλίασον.

Smp 185e ἀνακογχυλιάσαι τὸ κλύσαι τὴν φάρυγα, ὃ λέγομεν ἀναγαργάρισον. ὡς ἔπος εἰπεῖν.

Smp 186a ( 1) ὡς φαίνεται καὶ ὡς ἐν λόγῳ εἰπεῖν. (2) τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς καὶ ὡς εἰπεῖν ἔπος, καὶ ὡς ἔπος εἰπεῖν, καὶ ἔπος φάναι καὶ ὡς φάναι ἔπος. ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον ὡς φάναι καὶ ὡς εἰπεῖν· σημαίνει δὲ τὸ αὐτό. πρεσβεύωμεν.

Smp 186b προτιμῶμεν, μεγαλύνωμεν. θέμιν.

Smp 188d θέμις· δίκη. καὶ ἡ θεός, καὶ τιμὴ καὶ ἀξίωμα καὶ τὸ ἁρμόζον καὶ ὁ νόμος. κυβιστῶσι.

Smp 190a κυβιστὴρ ( sic) ὁ ὀρχηστὴς καὶ κυβιστῶσι τὸ ὀρχοῦνται. ἀσκωλιάζοντες.

Smp 190d ἀσκωλιάζοντες κυρίως μὲν ἐπὶ τὸ τοὺς ἀσκοὺς ἅλλεσθαι ἀληλιμμένους, ἐφ’ οὓς ἐπήδων γελοίου ἕνεκα· τινὲς δὲ καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἁλλομένων. ἤδη δὲ τιθέασι καὶ τὸ τοῦ ἅλλεσθαι τὸ νεῦρον τῶν ποδῶν ἀνέχοντα, ἢ ὡς νῦν, ἐπὶ σκέλους ἑνὸς βαίνοντα, τὸ δὲ ἀσκωλιάζειν τὸ χωλαίνειν. ψῆτται.

Smp 191d ἰχθύδιόν τι τῶν πλατέων ἡ ψῆττα, ἐκ δύο δερμάτων συγκεῖσθαι τὴν ἰδέαν δοκοῦν, ὅ τινες σανδάλιον καλοῦσιν, οἱ δὲ βούγλωσσον, κακῶς δέ· ἄλλα γάρ ἐστι ταῦτα. λίσπαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Smp 193a αἱ λεῖαι καὶ ἐκτετριμμέναι καὶ ἄπυγοι λίαν, καὶ οἱ διαπεπρισμένοι ἀστράγαλοι. οἵ τε Ἀθηναῖοι λίσποι καλοῦνται διὰ τὸ ἐκ τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας αὐτοὺς ἀπογλούτους εἶναι. ὀκρίβαντα.

Smp 194b τὸ λογεῖον ἐφ’ οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τινὲς δὲ καλλίβαντα (sic) τρισκελῆ φασίν, ἐφ’ οὗ ἵστανται οἱ ὑποκριταὶ καὶ τὰ ἐκ μετεώρου λέγουσιν. ὅμοιον ὁμοίῳ.

Smp 195b ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων καὶ ἀλλήλοις αἰεὶ συνδιαγόντων, ἐξ Ὁμήρου (ρ 218) λαβοῦσα τὴν ἀρχήν. μέμνηται δὲ αὐτῆς Πλάτων καὶ ἐν τῷ Λύσιδι (214 b) καὶ ἐν Συμποσίῳ, καὶ Μένανδρος Σικυωνίᾳ (l. Σικυωνίῳ, fr. 443 Kock). πίλναται.

Smp 195d προσεγγίζει, προσπελάζει. ἀδεὲς .

Smp 198a .. δέος. παροιμία ἀδεὲς δέος, ἐπὶ τῶν τὰ μὴ ἄξια φόβου δεδιότων. ἐπιεικῶς.

Smp 201a ἱκανῶς, ἐπίπαν, φιλικῶς παρὰ Πλάτωνι, καὶ ἐπιεικὴς ὁ μέτριος. βάναυσος.

Smp 203a βάναυσοι οἱ ἑδραῖοι τεχνῖται καὶ παρὰ βαύνῳ, ὃ σημαίνει καμίνῳ, τὶ ἔργον διατιθέμενοι. οἱ δὲ βάναυσον τὸν ἀπάνθρωπον καὶ ὑπερήφανον. ἔνιοι βαναύσου χειρὸς τῆς ὑβριστικῆς ἢ τεχνικῆς. δηλοῖ δὲ τοὺς χειροτέχνας καὶ δημιουργούς. ἴτης.

Smp 203d ἴστωρ, ἐπιστήμων, ὡς ἐνταῦθα. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ἰταμοῦ καὶ θρασέος. τέλος.

Smp 205a τὸ τέλος οἱ Ἀττικοὶ τάττουσι καὶ ἀντὶ τάξεως καὶ τάγματος καὶ δαπάνης, ἔνθεν ὁ πολυτελὴς καὶ εὐτελὴς καὶ ὁ συντελεῖς (sic), καὶ τὸ εἰς γάμους ἀνάλωμα, ὅθεν τὰ προτέλεια. λέγεται καὶ ἀντὶ ἀρχῆς· Θουκυδίδης “προσελθὼν δὲ τοῖς τέλεσιν”, ὡς εἰ ἔφη τοῖς ἐν ἀρχῇ οὖσι· σημαίνει καὶ τὸ ἀποτέλεσμα τῶν πραγμάτων. καὶ τὸ εἰσπραττόμενον ὑπὸ τῶν τελωνῶν χρέος τέλος καλεῖται. ἓν μόριον ( B T Oxy.

Smp 205c : μόνον W). γρ. καὶ ἓν μόριον (W). συσπειρᾶται.

Smp 206d συστρέφεται. ἀνείλλεται ( B W: ἀνειλλεῖται T).

Smp 206d,bis ἀνειλεῖται. σπαργῶντι.

Smp 206d,ter ὁρμῶντι, ὀργῶντι, ταραττομένῳ, ἢ ἀνθοῦντι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μασθῶν πεπληρωμένων γάλακτος. Κόδρον.

Smp 208d Κόδρος ἦν ἀπὸ Δευκαλίωνος, ὥς φησιν Ἑλλάνιχος (l. Ἑλλάνικος F H G I 47, 10; F G H 4 F 125). γίνεται γὰρ Δευκαλίωνος μὲν καὶ Πύρρας, ὡς δέ τινες, Διὸς καὶ Πύρρας, Ἕλλην· Ἕλληνος δὲ καὶ Ὀθρηΐδος Ξοῦθος, Αἴολος, Δῶρος, Ξενοπάτρα· Αἰόλου δὲ καὶ Ἴφιδος τῆς Πηνείου Σαλμωνεύς, Σαλμωνέως δὲ καὶ Ἀλκιδόκης Τυρώ, ἧς καὶ Ποσειδῶνος Πηλεύς, Πηλέως (l. Νηλεύς, Νηλέως) δὲ καὶ Χλωρίδος Περικλύμενος, Περικλυμένου δὲ καὶ Πεισιδίκης Βῶρος, Βώρου δὲ καὶ Λυσιδίκης Πένθιλος, Πενθίλου δὲ καὶ Ἀγχιρόης Ἀνδρόπομπος, Ἀνδροπόμπου δὲ καὶ Ἡνιόχης τῆς Ἁρμενίου τοῦ Ζευξίππου τοῦ Εὐμήλου τοῦ Ἀδμήτου Μέλανθος. οὗτος Ἡρακλειδῶν ἐπιόντων ἐκ Μεσσήνης εἰς Ἀθήνας ὑπεχώρησεν, καὶ αὐτῷ γίνεται παῖς Κόδρος. χρόνῳ δὲ ὕστερον γενομένης τοῖς Βοιωτοῖς ἀμφισβητήσεως πρὸς Ἀθηναίους, ὡς μέν τινες, περὶ Οἰνόης καὶ Πανάκτου, ὡς δέ τινες, περὶ Μελαινῶν, καὶ τῶν Βοιωτῶν ἀξιούντων τοὺς βασιλέας προκινδυνεῦσαι περὶ τῆς χώρας εἰς μονομαχίαν καταστάντες, Ξάνθιος μὲν ὁ τῶν Βοιωτῶν βασιλεὺς ὑποδέχεται, Θυμοίτης δὲ ὁ τῶν Ἀθηναίων ἀρνεῖται, λέγων τῷ βουλομένῳ μονομαχεῖν τῆς ἀρχῆς παραχωρεῖν. Μέλανθος δὲ ὑποστὰς τὸν κίνδυνον ἐπὶ τὸ βασιλεῦσαι τῶν Ἀθηνῶν αὐτὸν καὶ τοῖς ἐξ αὐτοῦ, ὁπλισάμενος προῄει, καὶ πλησίον τοῦ Ξανθίου γενόμενος εἶπεν “ἀδικεῖς, ὦ Ξάνθιε, σὺν ἑτέρῳ ἐπ’ ἐμὲ ἥκων καὶ οὐ μόνος, ὡς ὡμολόγητο.” Ξάνθιος δὲ ταῦτα ἀκούσας μετεστράφη, θεάσασθαι βουλόμενος εἴ τις αὐτῷ ἑπόμενος εἴη· καὶ μεταστραφέντα βαλὼν αὐτὸν ἀπέκτεινεν, καὶ βασιλεὺς τῆς Ἀττικῆς ἐγένετο. ὅθεν τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθηναίοις κρατήσασι τῆς χώρας ἔδοξεν ἑορτὴν ἄγειν, ἣν πάλαι μὲν Ἀπατηνόρια ὕστερον δὲ Ἀπατούρια ἐκάλουν ὡς ἀπὸ τῆς γενομένης ἀπάτης. Μελάνθου δὲ Κόδρος γενόμενος ἐκδέχεται τὴν βασιλείαν· ὃς καὶ ὑπὲρ τῆς πατρίδος ἀπέθανεν τρόπῳ τοιῷδε. πολέμου τοῖς Δωριεῦσιν ὄντος πρὸς Ἀθηναίους, ἔχρησεν ὁ θεὸς τοῖς Δωριεῦσιν αἱρήσειν τὰς Ἀθήνας, εἰ Κόδρον τὸν βασιλέα μὴ φονεύσωσιν. γνοὺς δὲ τοῦτο ὁ Κόδρος, στείλας ἑαυτὸν εὐτελεῖ σκεύει ὡς ξυλιστὴν καὶ δρέπανον λαβών, ἐπὶ τὸν χάρακα τῶν πολεμίων προῄει. δύο δὲ αὐτὸν ἀπαντησάντων πολεμίων τὸν μὲν ἕνα πατάξας κατέβαλεν, ὑπὸ δὲ τοῦ ἑτέρου ἀγνοηθεὶς ὅστις ἦν, πληγεὶς ἀπέθανεν, καταλιπὼν τὴν ἀρχὴν Μέδοντι τῷ πρεσβυτέρῳ τῶν παίδων. ὁ δὲ νεώτερος αὐτοῦ παῖς Νηλέως τῆς δωδεκαπόλεως Ἰωνίας κτίστης ἐγένετο. ἀφ' οὗ φασιν Ἀθηναίοις τὴν τῶν Κοδριδῶν συγγένειαν εἰς παροιμίαν περιστῆναι· "εὐγενέστερος Κόδρου" ἐπὶ τῶν πάνυ εὐγενῶν. τουτὶ τί ἦν ( T W Oxy.

Smp 213b : τοῦτ' εἰπεῖν B). γρ. καὶ τοῦτ' εἴπειν ((sic) W). ψυκτῆρα.

Smp 213e ψυκτὴρ σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ (T G F fr. 726). κοτύλας.

Smp 214a τρίτον μέρος ἡ κοτύλη τῆς χοίνικος. σιληνοῖς.

Smp 215a Διονύσου χορευταί, παρὰ τὸ σιλλαίνειν, ὅ ἐστι σκώπτειν, λεγόμενοι, παρὰ τοὺς πότους. τῷ Σατύρῳ.

Smp 215b Σάτυροι Διονύσου ὀπαδοὶ καὶ οὗτοι, οἳ διὰ τὸ ἐν ὄρεσιν οἰκεῖν ἀλουτοῦντες, τράγων σκέλη καὶ τρίχας νομιζόμενοι ἔχειν παραδέδονται, καὶ ταύτῃ καλεῖσθαι ἀπὸ τοῦ σεσηρέναι τῷ οἴνῳ, τουτέστι κεχηνέναι· φίλοινοι γάρ εἰσι. Μαρσύας δὲ αὐλητής, Ὀλύμπου υἱός, ὃς τοὺς αὐλοὺς Ἀθηνᾶς ῥιψάσης διὰ τὸ ἐνασχημονεῖν αὐτοῖς ἀνελόμενος ἤρισεν Ἀπόλλωνι περὶ μουσικῆς, καὶ ἡττήθη, καὶ ποινὴν δέδωκεν τὸ δέρμα δαρείς· ἀφ' οὗπερ αἵματος ἔρρευσε ποταμὸς ὁ ἐξ αὐτοῦ ὕστερον Μαρσύας κληθείς. κομιδῇ.

Smp 215d κυρίως μὲν τὸ ἐπιμελῶς, ὅθεν καὶ ὁρικόμος (sic) καὶ γεροντοκόμος. ἰσοδυναμεῖ δὲ καὶ τῷ σφόδρα καὶ τελέως, κομιδῇ μικρά—σφόδρα μικρά. κορυβαντιώντων.

Smp 215e ἐνθουσιώντων, ἤ τινα ὄρχησιν ἐμμανῆ ὀρχουμένων. ἀπὸ τῶν Κορυβάντων, οἳ καὶ τροφεῖς καὶ φύλακες καὶ διδάσκαλοι τοῦ Διὸς εἶναι μυθολογοῦνται. τινὲς δὲ τοὺς αὐτοὺς τοῖς Κούρησιν εἶναί φασιν. εἶναι δὲ καὶ τῆς Ῥέας ὀπαδούς, ἀπὸ τῶν τοῦ Διὸς δακρύων γεγενημένους· ὧν ἀριθμὸν οἱ μὲν θ', οἱ δὲ ι' λέγουσιν. εἰρωνευόμενος.

Smp 216e ὑποκρινόμενος, χλευάζων. ἕρμαιον.

Smp 217a τὸ ἀπροσδόκητον κέρδος ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν· καὶ γὰρ ἐν ταῖς ὁδοῖς ἔθος ἱδρύσθαι τὸν Ἑρμῆν, παρ' ὃ καὶ ἐνόδιος λέγεται. ἤνυτον.

Smp 217c ἤνυον, ἐτέλουν. οἶνος .

Smp 217e .. ἀληθής. παροιμία οἶνος καὶ ἀλήθεια, ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων. ἔστι δὲ ᾄσματος Ἀλκαίου ἀρχὴ (fr. 66 Diehl) οἶνος, ὦ φίλε παῖ, καὶ ἀλήθεια. καὶ Θεόκριτος (XXIX 1). τινὲς δέ φασιν ὅτι πρὶν οἶνον εὑρεθῆναι ὕδωρ κατὰ τῶν ἱερῶν ἔσπενδον, καθάπερ νῦν τὰ νηφάλια, οἴνου δὲ φανέντος οὕτω θαυμάσαι τοὺς ἀνθρώπους καὶ θείαν ἡγήσασθαι τὴν φύσιν, ὡς καὶ τὰς συνθήκας παρὰ τὸν οἶνον γινομένας νομίσαι δεῖν εἶναι κυρίας, καὶ μὴ τολμᾶν παραβαίνειν, ἀλλὰ κατὰ πάντας τρόπους ἀφαιρεῖν τὸ ψεῦδος ἀπὸ τῶν παρὰ τὸν οἶνον συνθηκῶν. ὁμοία δὲ ταύτης καὶ αὕτη "τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐπὶ τῆς γλώσσης ἐστὶ τοῦ μεθύοντος." τρίβωνα.

Smp 219b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρίβων ἐστὶ στολή τις ἔχουσα σημεῖα ὡς γραμμάτια (l. γαμμάτια). τριβώνιον δὲ ἱμάτιον παλαιόν. καταδεδαρθηκώς.

Smp 219c καθυπνωκώς. Ποτείδαιαν.

Smp 219e πόλις Θράκης ἐν Μακεδονίᾳ, κτίσμα Κορινθίων. πίλους.

Smp 220b πῖλος ἱμάτιον ἐξ ἐρίου πιλήσεως γινόμενον, εἰς ὑετῶν καὶ χειμώνων ἄμυναν. ἀρνακίδας.

Smp 220b,bis ἀρνῶν κώδια. χαμεύνια.

Smp 220d ταπεινὰ κλινίδια. ἀπὸ Δηλίου.

Smp 220e Δήλιον χωρίον τῆς Βοιωτίας. προτροπάδην.

Smp 221c προθύμως, ἀμεταστρεπτὶ μετὰ προτροπῆς, ἢ εἰς τοὔμπροσθεν. κανθηλίους.

Smp 221e τοὺς βραδεῖς νοῆσαι ἢ ἀφυεῖς, ἀπὸ κάνθωνος, ὅς ἐστιν ὄνος, εἰρημένοι, ὃς πάλιν ἀπὸ τῶν κανθηλίων, τῶν ἐπιτιθεμένων αὐτῷ ἐπικάμπτων (l. ἐπικαμπῶν) ξύλων, τουτέστι σαγμάτων, ὀνομάζεται οὕτως. βυρσοδέψας.

Smp 221e,bis τοὺς τὰς βύρσας ἐργαζομένους καὶ μαλάττοντας. ὥσπερ νήπιον κτλ.

Smp 222b α. παροιμία ῥεχθὲν δέ τε νήπιος ἔγνω, ἐπὶ τῶν μετὰ τὸ παθεῖν συνιέντων τὸ ἁμάρτημα. β. ὁμοία αὐτῇ καὶ αὕτη· ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει. φασὶ γὰρ ἁλιέα ἀγκιστρεύοντα, ἐπειδὰν σπάσῃ τῷ λίνῳ τὸν ἰχθύν, τῇ χειρὶ προσαγαγόντα κατέχειν, ἵνα μὴ φύγῃ· τοῦτο δὲ συνήθως ποιοῦντα ὑπὸ σκορπίου πληγῆναι καὶ εἶπεν (l. εἰπεῖν)· "πληγεὶς νοῦν φύσεις," καὶ μηκέτι προσάγειν ἐξ ἐκείνου τὴν χεῖρα. κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ Σατυρικῷ (fr. 115 Pearson) λέγων· "ἔτ' αὖ ... ὥσπερ ἁλιεὺς πληγεὶς ..ενῶν διδάσκαλον ... " γ. ὁμοία καὶ ἑτέρα· ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς. ἐλέχθη δὲ ἐπὶ Τίμωνος τοῦ μισανθρώπου μηκέτι προσιεμένου τοὺς κόλακας. ΕΙΣ ΤΟΝ ΦΑΙΔΡΟΝ ΦΑΙΔΡΟΣ. [10]

Phdr 227a Φησὶν Ὀλυμπιόδωρος ἐν τῷ εἰς τὸν πρῶτον Ἀλκιβιάδην ὑπομνήματι, ὡς πρῶτος ὁ Φαῖδρος διάλογος τῷ Πλάτωνι γέγραπται. Λυσίου.

Phdr 227a,bis ῥήτωρ ὁ Λυσίας. Ἀκουμενῷ.

Phdr 227a,ter ἰατρὸς οὗτος ἦν. ἐν τοῖς δρόμοις.

Phdr 227a,quat ὅτι δρόμοι τόποι τινὲς ἦσαν, ὅπου ἔτρεχον οἱ νέοι. ἐκείνων οὖν τῶν ἐν τοῖς δρόμοις γυμνασίων ἀκοπώτεροι οἱ περίπατοι. ὡς κατὰ σχολὴν καὶ κατὰ βραχὺ γυμνάζοντες καὶ τὰς ἀναπαύλας αὐτοῦ πλησίον ἔχοντες· ὅτε γάρ τις βούλεται, δύναται καθέζεσθαι. Μορυχίᾳ. [5]

Phdr 227b τῇ ἀπὸ Μορύχου. Μόρυχος δὲ γάστρις τις ἄνθρωπος, ὃν καὶ ἡ κωμῳδία ὡς γαστρίμαργον διαβάλλει. ἐν τῇ τοῦ τοιούτου οὖν οἰκίᾳ τὸν ἀκόλαστον Λυσίαν προσμένειν εἰκός. ἀσχολίας.

Phdr 227b,bis ἀσχολία ἡ περὶ τὰ ἀνθρώπινα πράγματα διατριβὴ καὶ τὸν θνητὸν βίον περιολκή. σχολὴ γὰρ ἡ ἀπόθεσις τούτων καὶ ἀνθολκὴ ἐπὶ τὸ νοερώτερον καὶ καθαρώτερον. διὸ καὶ σχολαστικὸς λέγεται κατὰ τὴν εἰς ἑαυτὸν στροφὴν ἢ ἀπόθεσιν τῶν ἀνθρωπίνων, ὡς Ἀριστοτέλης φησίν. πειρώμενον . [5]

Phdr 227c .. κεκόμψευται. τὸ πειρώμενον παθητικῶς ἀκουστέον, ἀντὶ τοῦ πειραζόμενον παρά τινος, τουτέστι προσπαιζόμενον καὶ προσβαλλόμενον. τὸ δὲ κεκόμψευται, ὅτι πάντα τὰ ἔνυλα κομψὰ καὶ ἀπατηλά. χαριστέον.

Phdr 227c,bis τὸ χαριστέον ἐστὶν ἢ τὸ διδόναι τί τινι χωρὶς ἀντιδόσεως, ἢ τὸ ἐν λόγοις τινὶ ὑποκλίνεσθαι, ἢ ὡς νῦν, τὸ πρὸς ἀφροδίσιον ἑαυτὸν συνουσίαν ἐπιδιδόναι τινί. Ἡρόδικον.

Phdr 227d ὁ Ἡρόδικος Σηλυμβριανὸς ἰατρὸς ἦν καὶ τὰ γυμνάσια ἔξω τείχους ἐποιεῖτο, ἀρχόμενος ἀπό τινος διαστήματος οὐ μακροῦ ἀλλὰ συμμέτρου, ἄχρι τοῦ τείχους, καὶ ἀναστρέφων. κατὰ σχολήν.

Phdr 228a ἐπ’ αὐτὸ τοῦτο ἢ ἐν εὐκαιρίᾳ. πολλοῦ γε δέω.

Phdr 228a, bis πόρρω λίαν εἰμὶ τοῦ λέγειν. οὐδέτερα.

Phdr 228a, ter τὸ Σωκράτη καὶ Φαῖδρον ἀγνοεῖν καὶ ἑαυτοῦ ἐπιλελῆσθαι. ἐκεῖνος.

Phdr 228a, quat κατ’ ἀποστροφὴν πρὸς Φαῖδρον ὁ λόγος, ὡς δῆθεν μὴ ἐκεῖσε παρόντος αὐτοῦ. νὴ τὸν κύνα.

Phdr 228b ὁ Ῥαδαμάνθυος ὅρκος ὁ κατὰ κυνὸς ἢ χηνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου οἷς οὖν ἦν μέγιστος ὅρκος ἐν παντὶ λόγῳ κύων ἔπειτα χὴν καὶ τἆλλα· Κρατῖνος Χείρωσιν (fr. 231 Kock). κατὰ τούτων δὲ νόμος ὀμνύναι, ἵνα μὴ κατὰ θεῶν οἱ ὅρκοι γίγνωνται. συγκορυβαντιῶντα.

Phdr 228b, bis συνενθουσιῶντα. ἁμῶς γέ πως.

Phdr 228c ὁπωσδήποτε, ἐν γέ τινι, καθ’ ὁντιναοῦν τρόπον. ὦ φιλότης.

Phdr 228d ἀντὶ τοῦ ὦ φίλε, ἀπὸ τῆς διαθέσεως τὸ διακείμενον καλῶν. Ἰλισόν.

Phdr 229a ποταμὸς ἐν Ἀττικῇ. τὸ ἐν Ἄγρας (τὸ τῆς ἄγρας B T W).

Phdr 229c Ἀγραίας Ἀρτέμιδος ἱερὸν ἵδρυσαν Ἀθηναῖοι διὰ τὸ ἔφορον εἶναι παντὸς ἀγρίου τὴν θεὸν καὶ πᾶν τὸ ἄγριον καὶ ἀνήμερον καταστέλλειν. Ἀρείου πάγου.

Phdr 229d δικαστήριον Ἀθήνῃσιν ἐν ἀκροπόλει οὕτω καλούμενον, πάγος μὲν ὅτι ἐν τόπῳ ὑψηλῷ τοῦτο, Ἄρειος δὲ παρ’ ὅσον οἱ φόνοι ἐκεῖσε κρίνονται, ὁ δ’ Ἄρης τούτων ἔφορος. ἢ ὅτι τὸ δόρυ ἔπηξεν ἐκεῖσε, ὁπότε δίκην ἔλαχε πρὸς Ποσειδῶνα, τὸν τούτου υἱὸν Ἁλιρόθιον (sic) ἀνελών, ὃς Ἀλκίππην ἐβιάσατο τὴν Ἄρεως αὐτοῦ καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατρός. γράμμα.

Phdr 229e γράμμα τὸ γνῶθι σαυτὸν Δελφικόν, ἐπὶ τοῦ προπυλαίου (1) τοῦ ἐν Δελφοῖς ἱεροῦ γεγραμμένον. (2) Δελφοὶ δὲ πόλις ἐπὶ τοῦ Παρνασοῦ πρὸς τῇ Φωκίδι. Τυφῶνος.

Phdr 230a Τυφὼν Γῆς καὶ Ταρτάρου υἱός, γεννηθεὶς ἐν Σικελίᾳ, εἶδος ἔχων συμμιγὲς ἀνδρὸς καὶ θηρίων. ἐπιτεθυμμένον.

Phdr 230a, bis ὑπὸ πυρὸς ἐκκεκαυμένον ἢ βεβλαμμένον. ἄγνου.

Phdr 230b ἄγνος φυτόν τι θαμνῶδες, ἥ ἐστιν ἡ λύγος. Ἀχελῴου.

Phdr 230b, bis ποταμὸς Αἰτωλίας. ἄκουε δή.

Phdr 230e ὁ Λυσίου λόγος ἐντεῦθεν ἄρχεται. ὡς ἐκείνοις μὲν κτλ.

Phdr 231a ἐπιχειρήματ α. α′ in mg. ad 231a ὡς ἐκείνοις μὲν κτλ. ὅτι μεταμέλει τοῖς ἐρῶσιν ὧν εὖ ἐποίησαν τὸν ἐρώμενον ἐπειδὰν παύσωνται τῆς ἐπιθυμίας. β′ in mg. ad 231a ἔτι δὲ οἱ μὲν κτλ. δεύτερον ὅτι τοὺς πόνους ὑπολογίζονται οὓς ἔσχον ἐν τῷ ἐρᾶν καὶ ὅσα ἠμέλησαν τῶν οἰκείων, καὶ διὰ τούτων ἡγοῦνται τοῖς ἐρωμένοις ἱκανῶς ἀποδεδωκέναι τὴν ἀξίαν. γ′ in mg. ad 231b ἔτι δὲ εἰ διὰ τοῦτο κτλ. τρίτον ὅτι λέγοντες οὓς ἐρῶσι φιλεῖν ὑπὲρ πάντας, δῆλον ὅτι τοὺς γενομένους πρότερον ἐρωμένους, κακῶς διαθήσουσιν αὐτοὺς διὰ τοὺς ὕστερον. δ′ in mg. ad 231d καὶ γὰρ αὐτοὶ κτλ. τέταρτον ὅτι ὁμολογοῦσι καὶ αὐτοὶ νοσεῖν καὶ μὴ σωφρονεῖν. ε′ in mg. ad 231d καὶ μὲν δὴ εἰ κτλ. πέμπτον ὅτι εἰ τοὺς ἐπιτηδειοτέρους πρὸς φιλίαν δεῖ αἱρεῖσθαι, ἐκ τῶν μὴ ἐρώντων εὐμαρεστέρα ἡ ἐκλογὴ πλειόνων ὄντων, χαλεπωτέρα δὲ ἐκ τῶν ἐρώντων· ὀλιγώτεροι γάρ. ϛ′ in mg. ad 231e εἰ τοίνυν τὸν νόμον κτλ. ἕκτον ὅτι τὴν αἰσχύνην δεδιότας χρὴ φυλάσσεσθαι τοὺς ἐρῶντας· ἀλαζονεύονται γὰρ πρὸς τοὺς ἄλλους δεικνύντες ὅτι οὐ μάτην ἐπόνησαν. ζ′ in mg. ad 232a ἔτι δὲ τοὺς μὲν κτλ. ἕβδομον ὅτι καὶ προστάττουσι τὰ τοιαῦτα ὥστε εἰς ὑποψίαν τοὺς ἔξωθεν ἀφικέσθαι ὅτι ἢ γεγένηται αὐτοῖς ἢ μέλλει πληρώσεσθαι ἡ ἐπιθυμία. η′ in mg. ad 232b καὶ μὲν δὴ κτλ. ὄγδοον ὅτι τῶν πρὸς τοὺς ἄλλους ἀποτρέπουσι συνουσιῶν, δεδοικότες μὴ παρευδοκιμηθῶσιν. θ′ in mg. ad 232e καὶ μὲν δὴ κτλ. ἔνατον ὅτι οἱ μὴ τὸν τρόπον γνόντες ἀλλὰ τοῦ σώματος ἐπιθυμήσαντες ἀντιποιοῦνται τῶν παιδικῶν, διὸ εὐχερεῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς μεταβολήν. ι′ in mg. ad 233a καὶ μὲν δὴ κτλ. δέκατον ὅτι καὶ ἐπαινοῦσι καὶ ψέγουσι παρὰ τὸ προσῆκον, τὰ μὲν κακῶς κρίνοντες διὰ τὴν νόσον, τὰ δὲ δεδιότες μὴ ἀπέχθωνται. οὐκ ἄλλως.

Phdr 232a οὐ μάτην. εἰ δ’ ἄρα σοι κτλ.

Phdr 233c ἀνθυποφορα ί. ια′ in mg. ad 233c εἰ δ’ ἄρα σοι κτλ. ὅτι φιλία βέβαιος οὐ δύναται ἄνευ ἔρωτος συστῆναι· λύει δ’ αὐτὴν διὰ τοῦ πρὸς πατέρας καὶ ἀδελφοὺς καὶ ἡλικιώτας γίγνεσθαι φιλίας βεβαίους χωρὶς ἔρωτος. ιβ′ in mg. ad 233d ἔτι δὲ κτλ. ὅτι τοῖς δεομένοις δεῖ μᾶλλον παρέχειν ἢ τοῖς μή. λύει δὲ καὶ ταύτην ὅτι οὕτως ἂν τοῖς αἰτοῦσι τροφῶν καὶ τὰς ἑστιάσεις παρέχομεν καὶ οὐ τοῖς ἀξίοις. ιγ′ in mg. ad 234b ἴσως ἂν κτλ. κοινῇ εἰ δεῖ πᾶσι τοῖς μὴ ἐρῶσι χαρίζεσθαι. τοῦτο δέ φησι καὶ οἱ ἐρασταὶ οὐκ ἀξιοῦσιν, ὥστε πᾶσι τοῖς ἐρῶσι παρέχειν. σὺ οὖν κτλ.

Phdr 234b ιδ′ ὅτι τοὺς ἐρῶντας καὶ οἱ οἰκεῖοι νουθετοῦσιν ὡς κακοῦ ὄντος τοῦ ἐπιτηδεύματος, τοὺς δὲ μὴ ἐρῶντας οὐδεὶς αἰτιᾶται. ἐρώτα.

Phdr 234c ἕως ὧδε (μέχρι τοῦδε W) ὁ τοῦ Λυσίου λόγος. δαιμονίως.

Phdr 234d πανούργως, δολίως, κεκρυμμένως. γάνυσθαι.

Phdr 234d,bis φαιδρύνεσθαι, χαίρειν, διαχεῖσθαι. συνεβάκχευσα.

Phdr 234d,ter σὺν σοὶ ἐπὶ τὸ κρεῖττον παρήλλαξα. φιλίου.

Phdr 234e τοῦ τὰ περὶ φιλίας ἐπισκοποῦντος. Σαπφοῦς .

Phdr 235c .. Ἀνακρέοντος. ( 1) Σαπφὼ λυρικὴ ποιήτρια, Σκαμανδρωνύμου, Μιτυληναία. (2) Ἀνακρέων δέ, καὶ οὗτος λυρικὸς ποιητής, Σκυθίνου ἢ Παρθενίου, Τήϊος. οἱ ἐννέα ἄρχοντες.

Phdr 235d ( 1) οἱ ἐννέα ἄρχοντες, κατ’ ἐνιαυτὸν καθιστάμενοι, ὤμνυον μὴ παρανομήσειν, εἰ δὲ φωραθεῖεν, ἐκ καταδίκης τῷ Ἀπόλλωνι πέμπειν εἰκόνα χρυσῆν, ἐπὶ καταδίκῃ τοῦ ἄρχοντος, χαριστήριον δὲ τῷ θεῷ παρὰ Ἀθηνῶν. Σωκράτει γοῦν ὑπισχνεῖται Φαῖδρος, εἰ καλλίω λόγον εἴποι Λυσίου, καθάπερ οἱ ἄρχοντες, εἰκόνα καὶ αὑτοῦ καὶ Σωκράτους χρυσῆν εἰς Δελφοὺς τῷ Ἀπόλλωνι ἀναθήσειν. (2) ὁ πολέμαρχός ἐστιν ἄρχων ᾧ κατηγγύων τοὺς ξένους· ἔστι δὲ ὥσπερ λοχαγὸς τοῦ βασιλέως, ὃς καὶ ἀπόντος αὐτοῦ ἐπιμελεῖται τῶν κατὰ τὴν πόλιν. ὁ δὲ βασιλεὺς μυστηρίων προνοεῖται καὶ τὰς θυσίας τὰς πατρίους διοικεῖ. ἄρχων δέ ἐστιν ὁ ἐπώνυμος τοῦ ἐνιαυτοῦ. οἷς πᾶσι καὶ ἑορταὶ καὶ θεοὶ οἷς θύουσι καὶ δίκαι τινὲς ἀπονέμονται. οἱ δὲ θεσμοθέται ἕξ εἰσι τὸν ἀριθμόν, ἀφ’ ὧν καὶ ὁ τόπος, ὅπου συνήεσαν καὶ ἐσιτοῦντο, θεμίστιον ἐκαλεῖτο. εἶχον δὲ ἐξουσίαν τοῦ ὑπογράψαι τὰ δικαστήρια, καὶ τὰς εἰσαγγελίας εἰσῆγον καὶ τὰς χειροτονίας καὶ προβολὰς καὶ γραφὰς παρανόμων καὶ ἄλλα τινά. τοιαῦτα .

Phdr 236a .. τοιούτων. τοιαῦτα καὶ τοιούτων περὶ τῶν ἀναγκαίων φησίν, ὧν τὴν εὕρεσιν ἡ φύσις πορίζει, τὴν δὲ διάθεσιν ἡμεῖς. παρ’ ἣν καὶ ἔπαινος ἢ ψόγος ἔστιν ἡμῖν. τῶν δὲ μὴ ἀναγκαίων λέγει τῶν χρησίμων, ὧν καὶ ἡ εὕρεσις καὶ ἡ διάθεσις ἐξ ἡμῶν· παρ’ ἃς δὴ καὶ ἐπαινούμεθα ἢ ψεγόμεθα. οἷον ἀναγκαῖόν ἐστι καὶ Λυσίᾳ καὶ Σωκράτει καὶ πᾶσι τοῖς κατὰ φύσιν ἔχουσι τὸ λέγειν ὡς ὁ ἐρῶν ἀκόλαστον ἔρωτα μαίνεται, ὁ δὲ μὴ τοῦτον ἐρῶν σωφρονεῖ. ἡ δὲ περὶ τούτου διάθεσις ἐπαινετὴ Σωκράτους, ὅτι ἀληθής, Λυσίου δὲ οὔ. κατὰ προσποίησιν γάρ. Κυψελιδῶν.

Phdr 236b Κύψελος Περιάνδρου πατὴρ ἦν, οὗπερ οἱ υἱεῖς Κορίνθου τύραννοι γεγονότες ὑπὸ Κορινθίων κατελύθησαν. ηὔξαντο οὖν οὗτοι, εἰ πάλιν τὴν ἀρχὴν ἀνακτήσαιντο, χρυσοῦν ἀνδριάντα τῷ θεῷ ἀναθήσειν ἐν Ὀλυμπίᾳ ὁλόσφυρον. οἳ δὴ κρατήσαντες Κορίνθου ἀνέθεσαν ἐκεῖσε μέγιστον ἄγαλμα χρυσοῦν τοῦ Διός. Ὀλυμπία δ’ ἐστὶ τόπος τις κατὰ τὴν Πελοπόννησον, ἐν Πίσῃ πόλει τῆς Ἤλιδος χώρας, ἔνθα τὰ Ὀλύμπια καὶ ἀγὼν πενταετηρικός, Μουνυχιῶνος μηνὸς ἤγετο τῷ Διί, ἐν οἷς κότινος στέφανος ἆθλον ἐδίδοτο τῷ νικήσαντι. τινὲς δ’ οὐ κότινον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ ἐκ τῆς λεγομένης καλλιστεφάνου ἐλαίας. διαφέρειν δὲ κότινον ἐλαϊκὸν ἀγριελαίας. ἤγετο δὲ καὶ κατ’ ἐνιαυτόν, ἅπερ ἐλάττω ἐκάλουν. σφυρήλατος.

Phdr 236b, bis δι’ ὅλου βάθους ναστός. εἰς τὰς ὁμοίας λαβάς.

Phdr 236b, ter ἀπὸ μεταφορᾶς εἴρηται τῶν παλαιόντων, οἳ τοῦ ἀφωρισμένου αὐτοῖς πρὸς τὸ παλαίειν τόπου ὁπότ’ ἂν ἐκπέσοιεν, εἶτα ἐπὶ τοῦ αὐτοῦ καὶ τόπου καὶ σχήματος εἰ πάλιν ἔλθοιεν, εἰς ὁμοίας ἐληλυθέναι λέγονται λαβάς, ὡς καὶ νῦν ὁ Σωκράτης εἰς τὴν αὐτὴν τῷ Φαίδρῳ περιῆλθεν προσποίησιν τοῦ μὴ δύνασθαι λέγειν. τῶν κωμῳδῶν.

Phdr 236c ἔθος ἦν αὐτοῖς τὸ τοῖς ἐρωτῶσιν, οἷον “δέδωκας μοι τόδε”, πάλιν τὸ αὐτὸ λέγειν τοὺς ἀποκρινομένους, “δέδωκας μοι τοῦτο”. οὕτως οὖν καὶ πρὸς Σωκράτη Φαῖδρον εἰπεῖν, “εἰ ἐγὼ Σωκράτη ἀγνοῶ”, καὶ τὰ ἑξῆς. Λιγύων.

Phdr 237a ἔθνος τι ἠπειρωτικὸν τῶν ἑσπερίων οὕτω μουσικώτατον τὸ Λιγύων εἶναί φασιν, ὡς καὶ μηδ’ ἐν τοῖς πολέμοις πανστρατιᾷ μάχεσθαι, ἀλλὰ τὸ μέν τι τοῦ στρατεύματος πολεμοῦντος ἀγωνίζεσθαι, τὸ δὲ ᾄδειν. ἦν οὕτω δὴ κτλ.

Phdr 237b ἐντεῦθεν ὁ τοῦ Σωκράτους λόγος. αἱμύλος.

Phdr 237b, bis ποικίλος, πυκνός, πανοῦργος, δολερός· καὶ αἱμυλία ἀσινότης ἐπίχαρις. χήτει.

Phdr 239d ἀπορεῖ, στέρεται. ἔνδεια, σπάνη. ἥλικα γὰρ κτλ.

Phdr 240c παροιμία εἴρηται μὲν ἐνταῦθα τῷ Πλάτωνι οὕτως· ἥλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα. τὸ δὲ τέλειον ἔχει ἧλιξ ἥλικα τέρπε, γέρων δέ τε τέρπε γέροντα, ὥς φησι Ξενοφῶν Γεροντοκομικῷ. ἐπὶ τῶν (sic). ὀστράκου μεταπεσόντος.

Phdr 241b παροιμία ὀστράκου περιστροφὴ ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων. εἴρηται δὲ ἀπὸ παιδιᾶς τοιαύτης. διελόντες ἑαυτούς οἱ παῖδες ὡς ἰσαρίθμους ἑκατέρους γενέσθαι, οἱ μὲν πρὸς ἀνατολὴν ἵστανται οἱ δὲ πρὸς δυσμάς· ἄλλος δέ τις μεταξὺ ἑκατέρων καθήμενος ὄστρακον εἶχεν, ἐκ μὲν τοῦ ἑνὸς μέρους κεχρισμένον λευκη (sic: l. λευκῷ), ἐκ δὲ θατέρου μέλανι· καὶ ἔρριπτε τοῦτον (sic: l. τοῦτο) ὀρθόν. καὶ εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες ἐδίωκον τοὺς πρὸς ταῖς δυσμαῖς· εἰ δὲ τὸ μέλαν ἄνω, οἱ πρὸς ταῖς δυσμαῖς ἐδίωκον, ἕως καταλάβοιεν. καταληφθέντες δὲ ἐβαστάζοντο ὑπ’ αὐτῶν ἀφ’ οὗ κατελήφθησαν τόπου, ἕως ἐπανέλθωσιν ἐπὶ τὸν τόπον ἀφ’ οὗ τὴν ἀρχὴν ἔφυγον. Πλάτων Φαίδρῳ. ὡς λύκοι κτλ.

Phdr 241d παροιμία. παρῳδεῖ τὸ Ὁμηρικὸν εἰρημένον ἐν τῇ ψ ῥαψωδίᾳ (X 262) ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν. ἡ παροιμία ἐπὶ τῶν ἐρωτικῶς ἐχόντων. σταθερά.

Phdr 242a σταθερὸν τὸ σφόδρα θερμόν, ἀπὸ τῆς ἐν τῷ θέρει μεσημεριας (sic). καὶ Ἀντίμαχος (fr. 30 Wyss)· θέρεος σταθεροῖο. καὶ τὸ ἑστὼς δὲ καὶ ἠρεμοῦν σταθερὸν λέγουσιν. οὐ πόλεμόν γε ἀγγέλλεις.

Phdr 242b οὐ πόλεμον ἀγγέλλεις, ἐπὶ τῶν ἀγαθὰ ἀγγελλόντων. ἐμνήσθη ταύτης καὶ ἐν τῷ τρίτῳ τῶν Νόμων (702 d). ἀφοσιώσωμαι.

Phdr 242c ἀποπληρώσω τὴν παραλελειμμένην ὁσιότητα. ἔστι γὰρ ἀφοσίωσις ὁσιότητος παραλελειμμένης ἀποπλήρωσις. ἔθραξε.

Phdr 242c, bis ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν, ἐκίνησεν, ἐδυσώπησεν. ἐδυσωπούμην.

Phdr 242c, ter ἀντὶ τοῦ ηὐλαβούμην. ἀμβλακών ( sic B: ἀμπλακὼν T W).

Phdr 242d ἁμαρτών (W: non habet T). Πέργαμα.

Phdr 243b τὰ ὑψηλά. παλινῳδίαν.

Phdr 243b, bis ἐναντία ᾠδὴ ἢ ῥῆσις τῆς προτέρας. πολλοῦ δ’ ἂν δεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Phdr 243c οὐδὲ ὅλως. οὕτω· σοῦ γάρ ( Schanz: οὕτως σοῦ W t: οὕτως οὐ B T).

Phdr 243d γρ. καὶ οὐ γὰρ (W). οὑτωσὶ τοίνυν, κτλ.

Phdr 243e ἀρχὴ (ἄρχεται W) τῆς Σωκράτους παλινῳδίας. εἰ μὲν γὰρ κτλ.

Phdr 244a ἐπιχειρήματα, ὅτι ἡ μανία σοφίας κρείττων. α′. ἀπὸ τῆς οὐσίας. β′. ἀπὸ τῆς ἐνεργείας. γ′. ἀπὸ τοῦ ὀνόματος. Δωδώνῃ.

Phdr 244b πόλις τῆς Μολοσσίδος, ἐν ᾗ τὸ μαντεῖον Σίβυλλαν.

Phdr 244b,bis ( 1) Σίβυλλαι μὲν γεγόνασι δέκα, ὧν πρώτη ὄνομα Σαμβήθη. Χαλδαίαν δέ φασιν αὐτὴν οἱ παλαιοὶ λόγοι, οἱ δὲ μᾶλλον Ἑβραίαν· καὶ δὴ καὶ ἑνὶ τῶν παίδων τοῦ Νῶε εἰς γυναῖκα ἁρμοσθῆναι, καὶ συνεισελθεῖν αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐν τῇ κιβωτῷ. ταύτην καὶ τὰ περὶ τῆς πυργοποιίας χρησμῳδῆσαί φασι, καὶ ὅσα τοῖς τούτων συνέβη τολμήμασιν· χρησμῳδῆσαι δὲ πρὸ τῆς διαιρέσεως τῶν γλωσσῶν γεγενημένη 〈ν〉 γλώσσῃ φασὶ τὰ χρησμῳδηθέντα τῇ Ἑβραΐδι· οὐ μὴν (l. μόνον) δέ, ἀλλὰ καὶ τὰ κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα προειπεῖν· ἧς καὶ μνήμην Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἀναγράψας πεποίηκεν. Δευτέρα δὲ Λίβυσσα, ἧς μνήμην ἐποιήσατο ἐν τῷ τῆς Σαλαμίης (l. Λαμίης fr. 922 Nauck; cf. p. 506) προλόγῳ Εὐριπίδης· ὄνομα δὲ αὐτῆς οὐ πάνυ σαφηνίζουσιν. Τρίτη Δελφίς, ἡ ἐν Δελφοῖς τεχθεῖσα, περὶ ἧς ἱστόρησεν Χρύσιππος. Τετάρτη Ἰταλική, ἡ ἐν ἐρημίᾳ τῆς Ἰταλίας τὴν διατριβὴν λαχοῦσα· Πέμπτη ἡ Ἐρυθραία, ἥτις καὶ τὰ κατὰ τὸν Τρωϊκὸν πόλεμον συνενεχθέντα προηγόρευσεν· περὶ ἧς Ἀπολλόδωρος ὁ Ἐρυθραῖος διεξέρχεται. Ἕκτη ἡ Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτώ φασιν. Ἑβδόμη ἡ Κυμαία μὲν γένος, ὄνομα δὲ Ἀμαλθία (sic)· οἱ δὲ Ἐρωφίλην (sic) φασί· παρά τισιν δὲ κλῆσιν ἠνέγκατο Ταράξανδρα· Βιργί * λιος δὲ ὁ Ῥωμαίων ποιητὴς Δηιφόβην αὐτὴν ὀνομάζει. Ὀγδόη ἡ Ἑλλησποντία, ἥτις ἐν κώμῃ Μαρμισσῷ τὴν γένεσιν ἔσχεν περὶ τὴν πολίχνην Γεργετίωνα· ὑπὸ τὴν ἐνορίαν δὲ αὕτη τῆς Τροίας ἐτύγχανεν. Ἐνάτη ἡ Φρυγία. Ἐπὶ πᾶσι δεκάτη ἡ Τιγουρτία (l. Τιβουρτία) μὲν γένος, ὄνομα δὲ Ἀβουναία (l. Ἀλβουναία). Ταύτας δέ φασι τῶν φρενῶν ἐξισταμένας τὰ μέλλοντα χρησμῳδεῖν· τῶν ὑπολαμβανόντων δὲ γραφῇ τοὺς χρησμοὺς οὐκ ἐχόντων σοφίαν τὰ χρησμῳδούμενα γράφειν ἀπταίστως, ἄλλως τε δὲ καὶ τῷ τάχει τῆς φορᾶς τῶν λόγων οὐκ ἐχόντων καθυπηρετουμένας τὰς χεῖρας, συμβῆναι πολλοὺς τῶν χρησμῶν εἰς χωλιάμβους διαπεσεῖν καὶ μηκέτι τυχεῖν διορθώσεως, ἅτε δὴ τῶν μὲν χρησμῳδῶν γυναίων ἐν ἐκστάσει καθεστώτων, ἐπειδὰν τὴν ὕπαρξιν προηγόρευον τῶν μελλόντων, πεπαυμένων δὲ τοῦ χρησμολογεῖν μηδαμῶς αἴσθησιν ἐχόντων μήτε ὧν ἔλεγον μήτε τί ἂν βούλοιντο τὰ κεχρησμῳδημένα. (2) πολλαὶ σίβυλλαι· πᾶσαι δὲ μαντικαί· ἥδε δὲ ἡ Ἐρυθραία ἐστὶν Ἐριφύλη καλουμένη· φασὶ δ’ αὐτὴν γεννηθεῖσαν εὐθὺς προσειπεῖν ἐξ ὀνόματος ἕκαστον καὶ ἔμμετρα φθέγξασθαι καὶ εἰς βραχὺν χρόνον τέλειον εἶδος ἀνθρώπου λαβεῖν. ἀπειροκάλως.

Phdr 244c κυρίως τῷ ἀπειροκάλως ἐχρήσατο· αὐτὸ γὰρ τὸ καλὸν ἔχοντες ὄνομα τὸ τῆς μανίας, ἀπειρίᾳ τοῦ καλοῦ ἠγνόησαν τὸ καλὸν τοῦ ὀνόματος. ἐοικέτω δή (ἐοικε τῳ δή T: ἔοικε τῷ δή B: ἐοικεδήτω W).

Phdr 246a γρ. ἐοικέτω δὴ (W t cum Herm. Stob.). ὑποβρύχιαι.

Phdr 248a ὑπὸ τὸ ὕδωρ, ὅ ἐστι τὴν γένεσιν, ποντισθεῖσαι. ὅταν δὲ κτλ.

Phdr 248c αἴτια δι’ ἃ ψυχὴ ἐπὶ τὴν γένεσιν φέρεται. ἐν τῇ πρώτῃ γενέσει.

Phdr 248d βίοι οὓς αἱρεῖται ψυχὴ κατιοῦσα εἰς γένεσιν. (W: non habet T). ἀνακηκίει.

Phdr 251c ἀναπηδᾷ. ὕσπληγος.

Phdr 254e ἀφετήριον, πληγή, ὥσπερ νῦν, πάσσαλος, κεράτινος κρίκος, πάντα θηλυκῶς. ἐρείσας.

Phdr 254e,bis ἑλκύσας. (W: non habet T.) ἐννέα χιλιάδας.

Phdr 257a ἐννέα χιλιάδας εἶπεν, ἐπειδὴ ἐν τῇ πρώτῃ γενέσει ἡ περίοδος ἡ ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὰ τῇδε οὐδεμίαν κάκωσιν ἔχει. τρέψον.

Phdr 257b τὸν Λυσίαν. ὁ ἐραστής.

Phdr 257b,bis ὁ Φαῖδρος. ἐπαμφοτερίζῃ.

Phdr 257b,ter Λυσίᾳ καὶ ἐμοὶ Σωκράτει ἕπηται. τὸν βίον ποιῆται.

Phdr 257b,quat μέχρι τῶνδε ἡ Σωκράτους εἰς τὸν ἔρωτα παλινῳδία. λογογράφον.

Phdr 257c λογογράφους γὰρ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐπὶ μισθῷ λόγους γράφοντας καὶ πιπράσκοντας αὐτοὺς εἰς δικαστήρια, ῥήτορας δὲ τοὺς δι' ἑαυτῶν λέγοντας. γλυκὺς ἀγκών.

Phdr 257d παροιμία γλυκὺς ἀγκὼν ἐπὶ τῶν κατειρωνευομένων. τόπος δέ ἐστιν ἐν τῇ Μέμφιδι Ἀγκὼν προσαγορευόμενος ἀπὸ (ὑπὸ corr. t) τῶν πλεόντων κατ' ἀντίφρασιν ἴσως διὰ τὸ δυσχερές. ἔνιοι δὲ τάττουσιν αὐτὴν ἐπὶ τῶν εὐθυμούντων, παρ' ὅσον τὸν ἀγκῶνα οἱ εὐφραινόμενοι τιθέασιν. ἐμμένῃ. [5]

Phdr 258b τουτέστι δεχθῇ καὶ μὴ ἐκβληθῇ ὁ λόγος. Λυκούργου ἢ Σόλωνος.

Phdr 258c Λυκοῦργος Λακεδαιμονίων, Σόλων Ἀθηναίων νομοθέται, Δαρεῖος δὲ τρίτος ἀπὸ Κύρου Περσῶν βασιλεύς (βασιλεῖς T). ἀνδραποδώδεις.

Phdr 258e ἀνδραποδώδεις εἰσὶν ἡδοναὶ αἱ ἄλλων παθῶν ἀπεχόμεναι, ὑπὸ ἄλλων δὲ κρατούμεναι. πνίγει.

Phdr 258e,bis θάλπει, καύματι. μεσημβριάζοντα.

Phdr 259a ἐν μεσημβρίᾳ νυστάζοντα καὶ καθεύδοντα, κηλούμενα. λέγεται δ' ὥς.

Phdr 259b μῦθος περὶ τεττίγων. (W: non habet T.) γέρας τοῦτο.

Phdr 259c σημείωσαι ὅτι τοὺς τέττιγας λέγεται τὸ παράπαν μὴ δεῖσθαι τροφῆς, τῇ δὲ δρόσῳ ἀρκεῖσθαι μόνῃ. ἴᾶσιν.

Phdr 259d πέμπουσι. (T W: suprascriptum habet b in textu.) περὶ ὄνου σκιᾶς.

Phdr 260c παροιμία ὄνου σκιᾶς: ἐπὶ τῶν μηδενὸς ἀξίων. φασὶ δὲ εἱλκύσθαι τὴν παροιμίαν ἀπὸ τοῦ Δημοσθένει τῷ ῥήτορι συμβάντος. δίκην γάρ ποτε, ὥς φησιν Ἀριστείδης, ἀπολογούμενος, ἧς τὸ τίμημα ἦν τί χρὴ παθεῖν ἢ ἀποτίσαι, τοῦ κατηγόρου δεινῶς εἰρηκότος καὶ προ[σ]εξειργασμένου διότι 〈ὁ〉 εὐθυνόμενος οὐδενὶ δικαίῳ μόνῃ δὲ τῇ Δημοσθένους δεινότητι πέποιθεν, οἱ δικασταὶ μετεωρισθέντες οὐ προσεῖχον τῷ Δημοσθένει, ἀλλ' ἐθορύβουν κωλύοντες ἀπολογεῖσθαι, καὶ τούτου συμβαίνοντος ἐπὶ πλείονα χρόνον, διαλειπόντων ποτὲ μικρὸν καὶ γενομένης βραχείας ἡσυχίας "ἄνδρες" ἔφη "δικασταί, μικρόν μου χρόνον ἀνάσχεσθε, καὶ συγχωρήσατέ μοι λόγον οὐ πάλαι γεγονότα διηγήσασθαι." τῶν δὲ συγχωρησάντων διὰ τὸ μέγα τι ὑπολαβεῖν τὸ ὑπ' αὐτοῦ μέλλον λέγεσθαι, "νεανίσκος τις" ἔφη "τῶν ἐπὶ φιλολογίαν εἰς τὴν πόλιν ἡμῶν παραγεγονότων, ὅτε ἀποτρέχειν ἔμελλεν, ἐμισθώσατο ὄνον πρὸς τὸ τὰ σκεύη αὐτοῦ διακομίσασθαι μέχρι Μεγαρέων. ὑπὸ κύνα δὲ τῆς ὥρας ὑπαρχούσης, κατὰ τὸ μέσον τῆς ἡμέρας ἐκκαίοντος τοῦ ἡλίου σφοδρότερον, οὔτε τὸ ὑποζύγιον συνέβαινεν ἐθέλειν ὁδοιπορεῖν οὔτε αὐτὸν ἀκολουθεῖν δύνασθαι. καταλύσαντος οὖν τὸ φορτίον τοῦ ὀνηλάτου, καὶ τὸν ὄνον στήσαντος ἐκτὸς τῆς ὁδοῦ, μὴ δύνασθαι ὑπομένειν τὸ καῦμα, ἀλλὰ κακῶς διακείμενος ὑπὸ τὴν τοῦ ὄνου σκιὰν ὑποδὺς μένειν οἷός τε ἦν. τοῦ δὲ ὀνηλάτου ἐκεῖνον μὲν κωλύοντος, ἑαυτῷ δὲ ἐπιβάλλειν λέγοντος διὰ τὸ καὶ τὸν ὄνον ἴδιον εἶναι καὶ τὴν ἀπ' αὐτοῦ σκιὰν ὑπάρχειν ἰδίαν· μεμισθωκέναι γὰρ μόνον τὸν ὄνον διακομίσοντα αὐτοῦ τὰ σκεύη, οὐ μὴν τὴν σκιὰν αὐτοῦ. ὡς δὲ καὶ ὁ νεανίσκος ἀντέλεγε πάλιν, φάσκων τὴν ἡμέραν ὅλην αὐτοῦ τὸν ὄνον εἶναι, καὶ πολλὴν ἀντιλογίαν, συνέβαινεν ἐκ τούτου εἰς μάχην ὥρμησαν (l. ὁρμῆσαι)." ἐπεὶ δ' ὁ μὲν ταῦτα εἰπὼν κατέβαινεν ἀπὸ τοῦ βήματος, οἱ δὲ δικασταὶ κατεῖχον ἀξιοῦντες τὸ γενόμενον πέρας ἐξηγήσασθαι, ἐπιστραφεὶς "ἄνδρες" εἶπεν, "ὑπὲρ μὲν ὄνου σκιᾶς βούλεσθε ἀκοῦσαι, ὑπὲρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνθρώπου δὲ κινδυνεύοντος τῷ βίῳ κωλύετε λέγειν;” οὕτω τοὺς δικαστάς, συγχωρήσαντας ὀρθῶς ὑπὸ τοῦ ῥήτορος ἐπιπεπλῆχθαι, λέγειν ἐφεῖναι. ὅθεν τό τε τοῦ διηγήματος εὔστοχον καὶ τὸ τοῦ φρονήματος παρρησιαστικὸν διαμνημονευθὲν παροιμίας ἔλαβε τάξιν. καρπὸν ὧν ἔσπειρε θερίζειν.

Phdr 260d ( 1) σημείωσαι ἀπὸ παροιμίας τῆς ὁ κακὰ σπείρων κακὰ θερίζει. ( 2) καρπὸν ὃν ἔσπειρας θέριζε, ἐπὶ τῶν τοιαῦτα πασχόντων οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου εἰ δὲ κακὰ σπείραις, κακά κεν ἁμώσαιο (l. ἀμήσαιο), καὶ πάλιν ὃς δὲ κακὰ σπείρει, θεριεῖ κακὰ κήδεα παισίν. ἐκεῖνο.

Phdr 260d, bis τὸ ἀληθές. ἐμέ.

Phdr 260d, ter τὴν τοῦ πείθειν δύναμιν. ἔτυμος τέχνη.

Phdr 260e ἄνευ τοῦ ἀγαθοῦ καὶ τῆς ἀληθείας, φησὶν ὁ Λάκων ῥήτωρ, τέχνην εἶναι ἀμήχανον. ἱκανῶς φιλοσοφήσῃ.

Phdr 261a οἱ γὰρ ἄριστοι ῥήτορες καὶ φιλόσοφοι, ὡς Περικλῆς Ἀναξαγόρας (sic: l. Ἀναξαγόρου), ὡς Δημοσθένης Πλάτωνος γεγονότες μαθηταί. περὶ τὰς δίκας.

Phdr 261b ἔθος ἦν παλαιὸν ἐν τοῖς δικαστηρίοις δημοσίοις τε λόγοις τοὺς ῥήτορας διατρίβειν, οὐ μὴν ἐν ταῖς γινομέναις συνουσίαις ἰδίᾳ. Γοργίαν Νέστορα κτλ.

Phdr 261c Γοργίας παράλληλος Νέστορι ὡς αἰδήμων καὶ πολυετής· ὀκτὼ γὰρ καὶ ἑκατὸν ἔζησεν ἔτη· ὡς δεινοὶ οἱ ἄλλοι Ὀδυσσεῖ. Ἐλεατικὸν Παλαμήδην.

Phdr 261d Ζήνωνά φησι τὸν Παρμενίδου ἑταῖρον, ὅτι δὴ πανεπιστήμων σχεδὸν ἦν ὁ ἀνήρ, ὡς καὶ Παλαμήδης. ἦ.

Phdr 262a σύνδεσμος ἀπορηματικὸς ἀντὶ τοῦ ἆρα τὸ ἦ, ὡς τὸ— ἦ μοῦνοι φιλέους’ ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεῖδαι; (I 340). ψιλῶς.

Phdr 262c τὸ μὴ ἐπὶ ὑποδείγματός φησι. προσπαίζων.

Phdr 262d τουτέστιν ὁ φιλόσοφος ὡς παιδιᾷ χρῆται τοῖς τῶν ῥητόρων λόγοις, καὶ ὅπερ ἐκεῖνοι μετὰ σπουδῆς ποιοῦσι, τὸ διὰ τῶν ὁμοιοτήτων παράγειν τοὺς ἀκούοντας, οὗτος ἐν παιδιᾶς μοίρᾳ ἔχει. τοῦτο τὸ γέρας.

Phdr 262d, bis τὸ δύνασθαι διακρίνειν τοὺς κατὰ τέχνην λέγοντας καὶ μή. πρῶτον μὲν δεῖ κτλ.

Phdr 263b ὅτι ὁ ῥήτωρ εἰδέναι τὴν φύσιν ὀφείλει τοῦ πράγματος καὶ διαιρεῖσθαι καὶ ὁρίζεσθαι. πλῆθος ( T: εἶδος B).

Phdr 263b, bis γρ. καὶ τὸ εἶδος W. ἀμηχάνως.

Phdr 263d ἀντὶ τοῦ θαυμάσιον πάνυ ὡρίσω. ἦ πολλοῦ δεῖν.

Phdr 264a ὄντως, οὐδαμῶς. διανεῖν.

Phdr 264a, bis διακολυμβᾶν, διαπερᾶν. ἑτέρους λόγους.

Phdr 264e τοὺς μετὰ ἀληθείας. μνήμης χάριν.

Phdr 267a ἐπειδὴ τὰ ἔπη τῶν καταλογάδην εὐμνημονευτότερα. μουσεῖα λόγων.

Phdr 267b τὰ πάρισα, ὡς τὸ “καὶ φιλοκίνδυνον τὸν βίον κατέστησεν, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν” (Isocr. Enc. Hel. 211 c). διπλασιολογίαν.

Phdr 267c ὡς τὸ φεῦ φεῦ. γνωμολογίαν .

Phdr 267c, bis .. εἰκονολογίαν. τὸ δι’ εἰκόνος καὶ δι’ ὑποδείγματός τι δηλοῦν· γνωμολογία δὲ ὡς τὸ “δεινὸν ἡ πονηρία”. Λικυμνίων.

Phdr 267c, ter Λικυμνίων· ὁ Λικύμνιος δὲ Πώλου διδάσκαλος, ὃς διῄρει τὰ ὀνόματα εἰς κύρια, σύνθετα, ἀδελφά, ἐπίθετα, καὶ εἰς ἄλλα τινά. ἤτριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Phdr 268a ἱμάτιον εὐυφὲς καὶ ἀραιόν. οὗτοι ( W: οὕτω B: οὗτοι T).

Phdr 271b γρ. οὕτω (W). τί μήν; καταφατικόν ἐστιν ἐν ἴσῳ τὸ οἴομαι.

Phdr 272c, bis τὸ τοῦ λύκου εἰπεῖν. παροιμία (1) λύκου ῥήματα, ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος. (2) ἰδὼν γὰρ λύκος ποιμένα ἐσθίοντα προβάτεια εἶπεν “ἡλίκος ἂν ἤρθη θόρυβος, εἰ ἐγὼ ταῦτ’ ἐποίουν;” ἐμνήσθη ταύτης ἐνταῦθα Πλάτων. ὅτι μή.

Phdr 274a εἰ μὴ ὅτι. Ἀδώνιδος κήπους.

Phdr 276b παροιμία Ἀδώνιδος κῆποι ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων. ἐμνήσθη δὲ αὐτῆς καὶ Εὐριπίδης Μελανίππῃ (T G F fr. 514) καὶ ἐνταῦθα Πλάτων. κοινὰ .

Phdr 279c .. τὰ τῶν φίλων. παροιμία κοινὰ τὰ φίλων, ἐπὶ τῶν εὐμεταδότων. φασὶ δὲ λεχθῆναι πρῶτον τὴν παροιμίαν περὶ τὴν μεγάλην Ἑλλάδα, καθ’ οὓς χρόνους ὁ Πυθαγόρας ἔπειθεν τοὺς αὐτὴν κατοικοῦντας ἀδιανέμητα πάντα κεκτῆσθαι. φησὶ γοῦν ὁ Τίμαιος (F H G I 211, 77) ἐν τῇ ε′ (sic) οὕτως· “προσιόντων δ’ οὖν αὐτῷ τῶν νεωτέρων καὶ βουλομένων συνδιατρίβειν οὐκ εὐθὺς συνεχώρησεν, ἀλλ’ ἔφη δεῖν καὶ τὰς οὐσίας κοινὰς εἶναι τῶν ἐντυγχανόντων.” εἶτα μετὰ πολλά φησι “καὶ δι’ ἐκείνους πρῶτον ῥηθῆναι κατὰ τὴν Ἰταλίαν ὅτι κοινὰ τὰ φίλων.” ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ θ′ τῶν Ἠθικῶν (1159 b 31). Κλέαρχος δέ φησιν (F H G II 320, 59) ὑπὸ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ πεμφθῆναι δῶρα εἰς Δελφοὺς Ἀπόλλωνι καὶ Ἀρτέμιδι. τῶν δὲ Δελφῶν μαντευομένων εἰ ἐξ ἴσης τὴν ἀνάθεσιν ποιήσωνται, ἔφησεν ὁ θεὸς “κοινὰ τὰ τῶν φίλων.” καὶ Μένανδρος Ἀδελφοῖς β′ (fr. 9 Kock). ΕΙΣ ΤΟΝ ΑΛΚΙΒΙΑΔΗΝ οὐδὲ προσεῖπον.

Alc1 103a οὐ προσηγόρευσα. δαιμόνιον ἐναντίωμα.

Alc1 103a, bis τὸ ἀπαρουσιάστως ἐρᾶν θεοειδὲς καὶ νοερόν. ὅπερ δὲ νῦν δαιμόνιον καλεῖ Πλάτων, μετὰ μικρὸν θεὸν λέγει τὸν ἐναντιούμενον. τοῦτο δὲ καὶ Ὅμηρος ποιεῖ· κἀκεῖνος γὰρ ἐπὶ ταὐτοῦ τίθησι δαίμονα καὶ θεόν. καὶ ὕστερον.

Alc1 103a, ter οὐχ ὡς καὶ πρότερον αὐτοῦ πεπυσμένου, ἀλλὰ παραπληρωματικός ἐστιν ὁ καὶ σύνδεσμος, ὡς καὶ παρ’ Ὁμήρῳ (B 827)— ... ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν. προσθήσω.

Alc1 104b προειπὼν τὰ ὑπάρχοντα Ἀλκιβιάδῃ μεγάλα εἶναι, ἀπὸ τοῦ σώματος ἀρχόμενα τελευτῶντα εἰς τὴν ψυχήν, νῦν λέγει καὶ προστίθησι τὰ ἐκτός. παρέλθῃς.

Alc1 105a ἰστέον ὡς Σωκράτης Ἀλκιβιάδῃ ταῦτα διελέγετο πρὸ ἡμερῶν ὀλίγων τῆς ἀρχῆς τοῦ εἰκοστοῦ ἔτους τῆς αὐτοῦ ζωῆς, ὡς δηλοῖ τὸ ῥητόν. Ἀθήνῃσι γὰρ οἱ νέοι εἰς μὲν τοὺς ἐφήβους εἰσῄεσαν ὀκτωκαίδεκα ἔτη γενόμενοι, δύο δὲ εἰς περιπόλους ἠριθμοῦντο, περιιόντες τὴν χώραν νυκτὸς φυλακῆς ταύτης ἕνεκα καὶ γυμνασίας πολεμικῆς ἑαυτῶν· εἰκοστῷ δὲ ληξιαρχικῷ ἐνεγράφοντο γραμματείῳ, καθὸ δὴ ἐκκλησιάζοντες παρελάμβανον καὶ τὴν πατρῴαν οὐσίαν, ἥτις καὶ λῆξις ἐκαλεῖτο, ὡς Πολυδεύκης ἐν Ὀνομαστικοῖς (VIII 105). ἐνδειξάμενος.

Alc1 105b ὅτι τὸ ἐνδειξάμενος ἐπὶ τοῦ διαλογικοῦ τάττει, τὸ δ’ ἐπιδειξάμενος ἐπὶ τοῦ ἀποτάδην. ἀτοπώτερος.

Alc1 106a παραδοξότερος, θαυμασιώτερος. ἔστω κτλ.

Alc1 106c τέλος τοῦ προοιμίου. φέρε δή.

Alc1 106c, bis ἐντεῦθεν τὸ πρῶτον τοῦ διαλόγου κεφάλαιον, τὸ ἀπαλλάττον τῆς διπλῆς τὸν νεανίσκον ἀγνοίας. ἔστι δὲ ἐλεγκτικόν. ἀκροχειρίζεσθαι.

Alc1 107e πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶν μετὰ ἄλλου γυμνάζεσθαι. παρὰ τοῦ; ἀρχὴ τοῦ δευτέρου συλλογισμοῦ.

Alc1 111a τὸ ἑλληνίζειν. [Start of a diagram] τὸ ἑλληνίζειν τριττόν ἢ τὸ τὴν ἑλληνικὴν συνήθειαν διασῴζειν τῶν ὀνομάτων ἐπὶ πάντων οἱ πολλοί ἢ τὸ ἀκριβοῦν τὴν ἑλληνικὴν φωνὴν καὶ τὴν

ὀρθότητα τὴν ἐν τῇ προφορᾷ οἱ γραμματικοί ἢ τὴν κυριότητα τῶν ὀνομάτων τὴν κατὰ φύσιν προσήκουσαν τοῖς πράγμασιν ἀπονέμειν οἱ φιλόσοφοι [End of a diagram] ἣν δ’ ἄν σοι τεκμήριον κτλ. [5]

Alc1 111e [Start of a diagram] ἡ διαφωνία μὴ εἰδότων μαχομένων πρὸς ἑαυτούς πρὸς ἀλλήλους κατὰ τὴν ἐναντίαν εἰδότων διαφερομένων πρὸς τοὺς μὴ εἰδότας κατὰ τὴν ἀντίφασιν [End of a diagram] ἐκ μὲν ὧν κτλ. [5]

Alc1 112d ἰδοὺ ὁ ἀμαθὴς καὶ φιλότιμος νέος, πῶς ἀποκρίνεται. ἐμὲ φῂς ταῦτα λέγειν.

Alc1 112e τὸ τῆς Φαίδρας (Eur. Hipp. 252) φησὶν ἐνταῦθα Σωκράτης. τῆς γὰρ τροφοῦ εἰπούσης ὅτι “τὸν Ἱππόλυτον λέγεις” φησὶν ὅτι “σοῦ τάδε κοὐκ ἐμοῦ κλύεις.” οὕτως αὖ καὶ ὁ Σωκράτης· σὺ ταῦτα εἶπες, οὐκ ἐγώ. καὶ ἐνταῦθα πάροδος γίνεται τοῦ τρίτου συλλογισμοῦ, ἐν ᾧ δείκνυσιν ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, οὐχ ὁ ἐρωτῶν. ἐάν σε ἔρωμαι κτλ. [5]

Alc1 112e, bis [Start of a diagram] τῶν ἐρωτήσεων αἱ μὲν πευστικαὶ πλείονος λόγου δέονται αἱ δὲ διαλεκτικαὶ ἀρκοῦνται τῷ ναὶ καὶ τῷ οὔ μόνον μαιευτικαί ἀπὸ τοῦ τελειοτέρου ἀπορητικαί ἀπὸ τοῦ ἀτελεστέρου ἀγωνιστικαί ἀπὸ τοῦ ἴσου [End of a diagram] ἰστέον ὅτι καὶ κατὰ τὰ γ′ εἴδη τῶν διαλεκτικῶν ἐρωτήσεων ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων. πότερος οὖν κτλ. [5]

Alc1 112e, ter ἀρχὴ τοῦ γ′ συλλογισμοῦ. ἑνὶ λόγῳ εἰπέ.

Alc1 113a ἀντὶ τοῦ καθόλου εἰπέ. ἐκ τῶν ὡμολογημένων.

Alc1 113b ἐπειδὴ ὡμολόγησεν μὴ εἰδέναι τὸ δίκαιον, κέχρηται καταδρομῇ ὁ Σωκράτης ἐλέγχων κατὰ τοῦ Ἀλκιβιάδου, οὐκ ἀπὸ ἀλλοτρίου προσώπου, ὡς Φοῖνιξ εἰσάγων τὸν Πηλέα οὕτως ἐλέγχει τὸν Ἀχιλλέα (Α 433 sqq.), ἢ Δημοσθένης ἐλέγξαι θέλων τοὺς Ἀθηναίους τῇ καταδρομῇ χρῆται ὡς ἐκ τῶν Ἑλλήνων πάντων, ἀλλὰ τῷ ἐλεγχομένῳ χρῆται Σωκράτης πρὸς μείζονα καταδρομήν. σοῦ τάδε κινδυνεύεις. [5]

Alc1 113c σημείωσαι πῶς χρηστέον τοῖς ποιητικοῖς, ὅτι οὐ κατὰ τὴν τῆς λέξεως ἀκριβολογίαν, ἀλλὰ μετὰ τοῦ παρῳδεῖν αὐτὰ ἐπὶ τὸ πεζοφανέστερον. εἰ ὅτι μάλιστα κτλ.

Alc1 113d ἄρχεται τοῦ ἐλέγχου, καὶ δείκνυσιν αὐτὸν μὴ εἰδότα τὰ συμφέροντα, ἐκ τῆς ἀντιπαραστάσεως. πολλῶν γὰρ δεῖται λόγων ἡ ἔνστασις, ὅτι ταὐτόν ἐστι δίκαιον καὶ συμφέρον, ὃ ἐφεξῆς δείξει. νῦν δέ φησιν ὅτι εἰ μὲν ταὐτόν ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον, ἐδείχθης δὲ μὴ εἰδὼς τὸ δίκαιον, οὐδὲ τὸ συμφέρον ἄρα· εἰ δὲ ἕτερον, δειχθείης δὲ μὴ εἰδὼς τὸ συμφέρον, διὰ τῶν αὐτῶν λόγων δύο ἀνθ’ ἑνὸς δειχθήσῃ ἀγνοῶν. σκευαρίων. [5]

Alc1 113e οὐδὲ γὰρ δέος μὴ κατατριβήσονται οἱ λόγοι δίκην τῶν σκευαρίων, ἃ δὴ σημαίνει τρία, ἢ τὰ σκεύη κοινῶς, ἢ τὴν τρυφήν, ἢ ὡς νῦν, τὰς σκευὰς τῶν κωμικῶν καὶ τραγικῶν, ὅ ἐστι τὰ ἐνδύματα. τὰς σὰς προδρομάς.

Alc1 114a προδρομή ἐστιν, ὅταν ἐν πολέμῳ καταλάβῃ τις φρούριον, ἐξ οὗ δύναται ἀσφαλῶς πολεμεῖν. νῦν δὲ τὸ μὴ ἐρωτᾶσθαι διὰ τῶν αὐτῶν λόγων ὑπὸ τοῦ Σωκράτους. ἐπειδὴ δὲ τρυφᾷς.

Alc1 114a, bis ἐπειδὴ τρυφηλὸς εἶ, ὡς ἐπὶ τῶν ἐδεστῶν, καὶ οὐκ ἔτ’ ἂν ἡδέως τοῦ αὐτοῦ γεύσαιο. συμφέροντα.

Alc1 114b τὴν ἔνστασιν διὰ τούτων φησίν, ὡς ἔδει σε δεῖξαι ὅτι οὐ ταὐτὸν δίκαιον καὶ συμφέρον. εἰ γὰρ μὴ δείξεις, δειχθήσῃ δύο ἀνθ’ ἑνὸς ἀγνοῶν τῶν δικαίων κτλ.

Alc1 115a [Start of a diagram] ἀρχὴ τοῦ ε′ συλλογισμοῦ ὅτι ταὐτόν ἐστι δίκαιον καὶ συμφέρον ἐλάττων μείζων δίκαιον καλόν συμφέρον πᾶν πᾶν πᾶν [End of a diagram] ἔδοξεν αἰσχρὰ μέν. [5]

Alc1 115a, bis ἐρωτᾷ τὴν ἐλάττονα. πολλοὶ ἐν πολέμῳ κτλ.

Alc1 115b ἰδοὺ τῇ μείζονι μάχεται, ὅτι οὐ πᾶν καλὸν ἀγαθὸν διὰ τὰ ἐν τῷ πολέμῳ τραύματα. οὐκ ἄλλο μὲν κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Alc1 115b,bis ἡ πρώτη λύσις, ὅτι δύο δυσὶν ἠκολούθησεν, οὐ δύο ἑνί, οὐ γὰρ ταὐτὸν ἀνδρεία καὶ θάνατος. ἔτι τοίνυν κτλ.

Alc1 116b διὰ τῶν καθ’ ἕκαστα δείξας, βούλεται καὶ διὰ τῶν καθ’ ὅλου κατασκευάσαι τὸ αὐτό. διὸ καὶ τὸ ἔτι προσέθηκεν. εὖ πράττει.

Alc1 116b,bis ὅτι τὸ εὖ μέσον ἐστὶ τοῦ ἀγαθοῦ καὶ τοῦ καλοῦ. Πεπαρηθίοις.

Alc1 116d Πεπάρηθος, νῆσός ἐστι μία τῶν Κυκλάδων· αὗται δὲ διὰ τὸ τὴν Δῆλον κυκλοῦν οὕτω καλοῦνται. Πυθοκλείδῃ καὶ Ἀναξαγόρᾳ.

Alc1 118c Πυθοκλείδης μουσικὸς ἦν, τῆς σεμνῆς μουσικῆς διδάσκαλος, καὶ Πυθαγόρειος, οὗ μαθητὴς Ἀγαθοκλῆς, οὗ Λαμπροκλῆς, οὗ Δάμων. Ἀναξαγόρας δὲ φυσικὸς φιλόσοφος, ὁ νοῦς ἐπικληθείς, ὅτι τοῦτον πρῶτον πάντων ἐπέστησε τῷ παντί. τὼ Περικλέους ὑεῖ.

Alc1 118e Ξάνθιππος καὶ Πάραλος οἱ Περικλέους υἱοί, οὓς καὶ βλιττομάμμας ἐκάλουν. βλίτται γὰρ καὶ βλίττονες οἱ εὐήθεις, μάμματα δὲ τὰ βρώματα, καὶ τὸ ἐσθίειν Ἀργεῖοι μαμμιᾶν ἔλεγον· ἐκ τούτων οὖν σύνθετον ὁ βλιττομάμμας, ὁ ἐσθίων εὐήθως, ὡς καὶ συκομάμμας ὁ συκοφάγος. ὁ δὲ Κλεινίας αὐθάδης οὕτως ὡς μηδενὶ τῶν συμβούλων προσέχειν. ἠλιθίω ἐγενέσθην.

Alc1 118e,bis [Start of a diagram] ἡ πρὸς μάθησιν ἀνεπιτηδειότης τρίττη α′ δι’ ἄνοιαν β′ διὰ τῦφον καὶ μανίαν γ′ διὰ ῥᾳθυμίαν [End of a diagram] διὰ τὴν Ζήνωνος Πυθόδωρον .

Alc1 119a .. καὶ Καλλίαν. Ζήνων ὁ Ἐλεάτης Παρμενίδου μαθητής, φυσικὸς φιλόσοφος καὶ πολιτικὸς ὡς ἀληθῶς· διὸ καὶ πρὸς Περικλέα παραβάλλεται φαινομένως ὄντα πολιτικόν. τούτου Πυθόδωρος ἀκροατής, ὃς καὶ ἐν Παρμενίδῃ μνήμης ἠξίωται Ἀντιφῶντι τῆς συνουσίας ἐκείνης μεταδούς, παρ’ οὗ Κέφαλος ὁ Κλαζομένιος μαθὼν διδάσκαλος γέγονεν. Καλλίας δὲ Ἀθηναίων στρατηγὸς ἔνδοξός τε πολιτικὸς καὶ αὐτός. τί οὖν διανοῇ.

Alc1 119a,bis ἐντεῦθεν τὸ δεύτερον τοῦ διαλόγου κεφάλαιον, τὸ πεῖθον μεταβαίνειν ἀπὸ τῆς φυσικῆς ἀρετῆς ἐπὶ τὴν πολιτικήν. πότερον ἐᾶν κτλ.

Alc1 119a,ter τὸ Ὁμηρικὸν νῦν παραφράζει ῥητόν (δ 371)— νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠὲ χαλίφρων, ἠὲ ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων. πᾶς γὰρ μὴ μανθάνων ἢ φύσεως ἀντιπραττούσης πάσχει τοῦτο, καί ἐστιν ὁ τοιοῦτος νήπιος καὶ ἠλίθιος· ἢ δύναται μέν, οἴεται δὲ ἀνωφελῆ εἶναι τὰ μανθανόμενα, καὶ διὰ τοῦτο οὐκ ἐπιτείνεται πρὸς αὐτά, καὶ ἔστιν ὁ τοιοῦτος χαλίφρων καὶ μαινόμενος· ἢ οἴεται μὲν ὠφέλιμα εἶναι, ῥᾳθυμεῖ δὲ καὶ βλακεύει, καί ἐστιν ὁ τοιοῦτος ἑκὼν μεθίων καὶ μὴ προσέχων τὸν νοῦν. πράγματα.

Alc1 119b ἀντὶ τοῦ φροντίδας. τῷ μεγάλῳ βασιλεῖ.

Alc1 120a Ἀρτοξέρξῃ (l. Ἀρταξέρξῃ) τῷ Ξέρξου Περσῶν βασιλεῖ (T: non habet W.) ὀρτυγοκόπον (ὀρτυγοτρόφον BT).

Alc1 120a,bis εἰρωνικῶς. οὗτος ἐπὶ κύκλου τοὺς ὄρτυγας παριστὰς κόπτειν αὐτοὺς ἀλλήλους ἐδίδασκεν. τὴν ἀνδραποδώδη .

Alc1 120b .. τρίχα. τὴν ἀνδραποδώδη τρίχα παροιμίαν εἶναί φασιν οἱ μὲν ἀπὸ τῶν ἀρτιγενῶν πώλων, οἱ δὲ ἀπὸ εἴδους κουρᾶς προσηκούσης ἀνδραπόδοις, παρ’ ὃ καὶ αἱ γυναῖκες τοὺς ἀπὸ δούλων ἐλευθέρους γεγονότας, οὔπω δὲ τὸ ἦθος μεταβαλλόντας (sic), ταύτην ἔτι ἔχειν τὴν τρίχα ἔλεγον σκώπτουσαι. οἱ δέ, ὅτι τὰς ἐν τῷ στήθει τρίχας φρένας οὕτως ὁ Πλάτων μεταβαλὼν τὰς ἀνδραποδώδεις φρένας οὕτως ἐκάλεσεν. μανθάνειν .

Alc1 120b,bis .. ἀσκεῖν. διττὴ ἡ τελειότης ἡμῖν, ἡ μὲν τοῦ λογικοῦ διὰ μαθήσεως γιγνομένη, ἡ δὲ τοῦ ἀλόγου δι’ ἀσκήσεως τῶν βελτιόνων ἐθῶν. οἱ μὲν Ἡρακλέους.

Alc1 120e [Start of a diagram][Start of a diagram section] Ζεύς Δανάη [End of a diagram section] [Start of a diagram section] Περσεύς Ἀνδρομέδα Κηφέως [End of a diagram section] [Logical

Relationship in a Diagram start mark] ἄλλαι γυναῖκες Ἠλεκτρύων [Logical Relationship in a Diagram end mark] [Start of a diagram section] Λαονόμη Ἀλκαῖος [End of a diagram section] [Start of a diagram section] Ἠλεκτρύων Λυσιδίκη [End of a diagram section] [Start of a diagram section] Ἀχαιμένης [End of a diagram section] [Start of a diagram section] Ἀμφιτρύων Ἀλκμήνη [End of a diagram section] Ἡρακλῆς [End of a diagram] εἰς Εὐρυσάκη κτλ.

Alc1 121a [Start of a diagram] Ζεύς Αἴγινα Αἰακός Ἐνδηίς Τελαμών Περίβοια Αἴας Τέκμησσα Εὐρυσάκης διὰ μέσου πολλοί πολλαί Κλεινίας Δεινομάχη Ἀλκιβιάδης [End of a diagram] εἰς Δαίδαλον κτλ.

Alc1 121a,bis [Start of a diagram] Ζεύς Ἥρα Ἥφαιστος Γῆ Ἐρεχθεύς Προκρίς Μητίων γυνή τις Εὐπάλαμος Ἀλκίππη Δαίδαλος διὰ μέσου πολλοί πολλαί Σωφρονίσκος Φαιναρέτη Σωκράτης [End of a diagram] Σαλαμῖνα.

Alc1 121b νῆσον πρὸς τῇ Ἀττικῇ καὶ πόλιν. Αἴγιναν.

Alc1 121b,bis νῆσον μίαν τῶν Κυκλάδων. γενέθλια.

Alc1 121c γενέθλιά ἐστιν ἡ δι’ ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος ἑορτή, γενέσια δὲ ἡ δι’ ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεθνεῶτος μνήμη. τοῦ κωμῳδοποιοῦ (κωμῳδιοποιοῦ TW).

Alc1 121d ὃν Πλάτωνα καλεῖσθαί φασιν. τροφοῦ.

Alc1 121d,bis αὕτη Λάκαινα τὸ γένος ἦν Λανικὴ καλουμένη. ἑπτέτεις.

Alc1 121e ἢ διὰ τὸ τὸν λόγον τότε ἄρχεσθαι τελειοῦσθαι, ἢ διὰ τὸ Ζωροάστρην ζ′ γενόμενον ἐτῶν σιωπῆσαι, εἶτα μετὰ λ′ χρόνους ἐξηγήσασθαι τῷ βασιλεῖ τῆς ὅλης φιλοσοφίας, ἢ ὡς τῷ Μίθρᾳ οἰκεῖον τὸν ζ′ ἀριθμόν, ὃν διαφερόντως Πέρσαι σέβουσιν. δὶς ἑπτά.

Alc1 121e,bis τότε γὰρ ὁ τέλειος ἐν ἡμῖν ἀποφαίνεται λόγος, ὡς Ἀριστοτέλης καὶ Ζήνων καὶ Ἀλκμαίων ὁ Πυθαγόριος φασίν. Ζωροάστρου.

Alc1 122a Ζωροάστρης ἀρχαιότερος ἑξακισχιλίοις ἔτεσιν ᾗ λέγεται Πλάτωνος· ὃν οἱ μὲν Ἕλληνα, οἱ δὲ τῶν ἐκ τῆς ὑπὲρ τὴν μεγάλην θάλασσαν ἠπείρου ὁρμωμένων φασίν, πᾶσάν τε σοφίαν παρὰ τοῦ ἀγαθοῦ δαίμονος ἐκμαθεῖν, τουτέστιν ἐπιτυχοῦς νοήματος· οὗ δὴ εἰς Ἑλληνικὴν φωνὴν μεταφραζόμενον τοὔνομα τὸν ἀστροθύτην δηλοῖ. τιμήσειν τε αὐτὸν τὴν ἀνακεχωρηκυῖαν διαγωγὴν τῶν πολλῶν, καὶ δὴ τὴν τῶν ἐμψύχων ἀποχήν, συγγράμματα δὲ διάφορα καταλιπεῖν, ἐξ ὧν καὶ δείκνυσθαι τρία μέρη φιλοσοφίας εἶναι κατ’ αὐτόν, φυσικόν, οἰκονομικόν, πολιτικόν. ἕλξεις.

Alc1 122c ὅτι καὶ τὴν ἱματίων ἕλξιν, ᾗ φησὶ Πλούταρχος (Alc. XVI 1) διαφερόντως Ἀλκιβιάδης ἐπετήδευεν. φιλονικίαν.

Alc1 122c,bis σημείωσαι φιλονικίαν διὰ τοῦ ι , τὴν φιλίαν τῆς νίκης. (W: habet T φιλονικία διὰ τοῦ ι nec plura.) Μεσσήνης.

Alc1 122d ὡς Τυρταῖός φησι· Μεσσήνην ἀγαθὸν μὲν ἀροῦν ἀγαθὸν δὲ φυτεύειν (fr. 4, 3 Diehl). χώρα δέ ἐστιν αὕτη. τῶν εἱλωτικῶν.

Alc1 122d,bis Εἵλωτες παρὰ Λακεδαιμονίοις οἱ νόθοι καὶ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι, ἀπὸ τοῦ Ἕλους, πόλεως ἐν Πελοποννήσῳ· καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον φησὶν Ὅμηρος (B 594). καὶ εἱλωτία (l. εἱλωτεία) ἡ δουλεία. τὸν Αἰσώπου μῦθον.

Alc1 123a ὁ μῦθος τοιοῦτος. λέων μὴ οἷός τε διὰ γῆρας θηρεύειν ὢν προσεποιεῖτο νοσεῖν, ἵνα δὴ τὰ θηρία πρὸς ἐπίσκεψιν ἰόντα παρ’ αὐτὸν κατεσθίοιτο. δεινὴ δ’ ἀλώπηξ οὖσα τὸν δόλον συνιδεῖν ἐφώρασεν, τοῦ λέοντος αὐτὴν ἀξιοῦντος εἰσελθεῖν πρὸς αὐτὸν, φαμένη μὴ δύνασθαι εἰσιέναι· ὁρῶσα ἴχνη μὲν εἰσιόντων, ἐξιόντων δ’ οὔ. ἀνδρὸς ἀξιοπίστου.

Alc1 123b

περὶ Ξενοφῶντός φασι λέγειν αὐτόν· οὗτος γὰρ ἐν τῇ Ἀναβάσει ἱστόρηκεν τὰ Περσῶν, Κύρῳ συνανελθὼν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην. γῆς πλέθρα Ἐρχίασιν.

Alc1 123c Ἐρχιεῖς δῆμος ὑπὸ τὴν Αἰαντίδα φυλήν, ἢ ὥς τινες, αἰγηιαν (l. Αἰγηΐδα). πλέθρον δ’ ἐστὶ μέρος ἕκτον σταδίου· τοῦτο δὲ πήχεις ἔχει υ′, ὧν τὸ ἕκτον πήχεις ξϛ′ δίμοιρον, ὅ ἐστι τὸ πλέθρον. Λεωτυχίδου.

Alc1 124a ὁ κατὰ Μήδου στρατηγήσας. (W: non habet T.) Ἀρχιδάμου.

Alc1 124a,bis ἐφ’ οὗ ὁ Πελοποννησιακὸς πόλεμος. (W: non habet T.) Ἄγιδος.

Alc1 124a,ter ἐφ’ οὗ ἐκράτησαν Λακεδαιμόνιοι. (W: non habet T.) ἀλλ’, ὦ μακάριε.

Alc1 124a,quat ἐντεῦθεν τὸ τρίτον τοῦ διαλόγου κεφάλαιον, τὸ ἐκφαῖνον τὴν οὐσίαν ἡμῶν καθ’ ἣν ὑφεστήκαμεν. παίζεις.

Alc1 124d ὅτι δὲ ἐπιμελείας δεῖσθαί φησιν ἑαυτόν, διὰ τοῦτο παίζειν λέγεται. νώ γε.

Alc1 124d,bis ἀγνοεῖ ἑαυτὸν ὁ Σωκράτης ἐνθουσιαστικῶς. οὐκ ἀπορρητέον.

Alc1 124d,ter οὐκ ἀποκνητέον. (W: non habet T.) δῆλον ὅτι ἥνπερ κτλ.

Alc1 124e ὅτι τὸ ὑλικὸν αἴτιον τῆς πολιτικῆς τὰ πρακτέα εἰσιν. ὃ δὲ ἄφρων κτλ.

Alc1 125a ἐπὶ μὲν τῶν βαναύσων τοῦτο οὐκ ἄτοπον, ἐπὶ δὲ τοῦ πολιτικοῦ ἀνδρὸς ἄτοπον τὸ εἶναι τὸν σοφὸν κατά τι πονηρὸν καὶ κατά τι ἀγαθόν. ἄρχειν.

Alc1 125b ἐντεῦθεν τὸ εἶδος παραδίδωσι τοῦ πολιτικοῦ, ὅτι τὸ ἄρχειν. κελευστῶν.

Alc1 125c τῶν περὶ τὰ ἄρμενα ἱσταμένων. τίς οὖν αὕτη; ἐντεῦθεν τὸ ποιητικὸν ὅτι φρόνησις καὶ οὐ σοφία.

Alc1 126c ἆρ’ οὖν φιλίαν κτλ. οὐχ ὡς 〈οὐ〉 βουλόμενος ὁ Σωκράτης καὶ αὐτὸς εἶναι τέλος τὴν φιλίαν, ταῦτα ἐρωτᾷ, ἀλλ’ ὅτι ᾤετο τὸν νεανίσκον ταὐτὸν ὑπολαμβάνειν στοργὴν καὶ φιλίαν. ὁμόνοιαν.

Alc1 126c,bis ὁμόνοιά ἐστι γνῶσις τῶν αὐτῶν γνωστῶν. ἀριθμούς.

Alc1 126c,ter ἀριθμοί, ἀριθμητική, διωρισμένον. πήχεος.

Alc1 126d πήχεις, μετρική, συνεχές (T: συνεχή W). σταθμοῦ.

Alc1 126d,bis σταθμοί, στατική, ῥοπή· ὥστε ἐκ τῶν κατὰ Πλάτωνα τρίτον εἶδος ποσοῦ ῥοπή. μὴ κάμῃς.

Alc1 126d,ter πολλὰ ἠρώτησε· διὸ τὸν νέον διεγείρων λέγει· μὴ κάμῃς. ταλασιουργίας.

Alc1 126e τῆς ξαντικῆς. ταλασιουργία δὲ ἢ ὅτι τὰ λάσια ἐργάζεται, ἢ παρὰ τοὺς ταλάρους. κατὰ τὸν σὸν λόγον.

Alc1 127a κατὰ τὸν σὸν λόγον ἀναγκαίως πρόσκειται διὰ τὰ ἐν τῇ Πολιτείᾳ ἀποδεδειγμένα, μηδὲν διαφέρειν κατὰ τὰ πολεμικὰ τὸ θῆλυ τοῦ ἄρρενος. γυναιξί.

Alc1 127a,bis κατὰ γὰρ τὸ προσεχὲς τέλος οὐχ ὁμονοεῖ ἀνὴρ καὶ γυνή, ἀλλὰ κατὰ τὸ πόρρω. ὅτι τὰ αὐτῶν.

Alc1 127b ἀντιλέγει ὁ Ἀλκιβιάδης τῷ Σωκράτει, ὅτι ἀλλ’ εὖ οἰκοῦσι τὰς πόλεις δι’ αὐτὸ τοῦτο, διότι τὰ αὑτῶν πράττουσιν· ὁ δὲ Σωκράτης φησὶν ὅτι πάλαι ὑπὸ σοῦ ταῦτα ἐλέγετο, οὐκ ἄρτι γε. φαῦλος.

Alc1 129a ἀντὶ τοῦ εὐτελής. ὁ τοῦτο ἀναθείς.

Alc1 129a,bis Χίλων ὁ Λακεδαιμόνιος. τινὲς δὲ Φημονόην τὴν προφῆτιν. ἔδοξε παντὸς εἶναι.

Alc1 129a,ter ὡς ῥᾴδιον παντὸς εἶναι τὸ λόγῳ διεξιέναι, παγχάλεπον δὲ τῷ ἔργῳ ἐπιχειρεῖν· καὶ γὰρ λέγεται (Ion, TGF 55). τὸ γνῶθι σαυτόν ἐν λόγοις οὐδὲν μέγα, ἔργῳ μόνος δὲ τοῦτ’ ἐπίσταται θεός. αὐτὸ ταὐτό. [5]

Alc1 129b,c1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτό αὐτοτοαυτό αὐτοέκαστον τριμέρεια ψυχῆς λογικὴ ψυχή ἄτομον ὡς Πρόκλος πολιτικὴ ψυχή καθαρτικὴ καὶ θεωρητικὴ ψυχή ἄτομον ὡς Δαμάσκιος τί ποτ' ἐσμὲν αὐτοί.

Alc1 129b, bis ἐντεῦθεν κατασκευάζει ὅτι ὁ ἄνθρωπος ἡ ψυχή ἐστι κατηγορικῶς. ἔχε οὖν.

Alc1 129b, ter ἡ ἐλάττων πρότασις ἐνθένδε, ὅτι ἄνθρωπος ὀργάνῳ χρῆται τῷ σώματι. τομεῖ.

Alc1 129c τομεύς ἐστιν ἐργαλεῖον τὴν βάσιν ἔχον κυκλικήν, σμίλη δὲ ἡμικυκλικήν. ἦ οὖν ἄλλο τι.

Alc1 130a ἡ μείζων πρότασις, ἡ λέγουσα τὸ τῷ σώματι χρώμενον ψυχή ἐστιν. οὐκοῦν ἄρχουσα; λῆμμα ὅτι ὁ ἄνθρωπος ἡ ψυχὴ ὢν ἄρχει τοῦ σώματος.

Alc1 130b πάντων γε ἥκιστα. οὐδαμῶς. σαφέστερον.

Alc1 130c οἶδεν ἐλλιπῆ τὸν ὅρον ὁ Σωκράτης. ἱκανῶς μοι δοκεῖ ἔχειν.

Alc1 130c, bis ὁ ῥᾴθυμος Ἀλκιβιάδης, ἴδε τί λέγει. ὅστις ἄρα κτλ.

Alc1 131a ἐκ τούτων δῆλον ὡς τῶν τεχνιτῶν λόγοι οὐκ εἰσὶν αἰεὶ ἐν ψυχῇ, ἐκείνων δὲ ὧν ἡ 〈...〉 μετὰ τὸν τοῦ σώματος χωρισμὸν οὐκ ἀπήλλακται. σωφροσύνη.

Alc1 131b σωφροσύνην λέγει τὴν φρόνησιν, ὡς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω ἐπιστρέφουσαν, καὶ ἄλλως, ὅτι ἀντιστρέφουσιν ἀλλήλαις αἱ πολιτικαὶ ἀρεταί. εἰ ἄρα τις κτλ.

Alc1 131c ἐντεῦθεν κατασκευάζει ὑποθετικῶς κατὰ τὸν δ′ ὅτι ὁ ἄνθρωπος ἡ ψυχή ἐστιν. τοῦ μεγαλήτορος.

Alc1 132a παρῳδεῖ τὸ ἔπος (B 547) “δῆμος Ἐρεχθῆος μεγαλήτορος”. εὐπρόσωπος δὲ κατὰ τὴν ὁλότητα, ἐπεὶ κατὰ τὸν καθ' ἕνα ἕκαστον αὐτοῦ εὐτελής. καὶ τὰ τοιαῦτα.

Alc1 132e τὰ φυσικά, οἷον ὕαλον ἢ κέρας. ἆρ' οὖν μὴ γιγνώσκοντες κτλ.

Alc1 133c συλλογισμοῦ δεικνύντος ὅτι ὁ ἑαυτὸν ἀγνοῶν οὔκ ἐστι πολιτικός, πρότασις ἡ λέγουσα ὅτι ὁ ἑαυτὸν ἀγνοῶν οὐδὲ τὰ ἑαυτοῦ οἶδεν. ὅστις δὲ κτλ.

Alc1 133e ἡ δευτέρα πρότασις τοῦ συλλογισμοῦ. οὐκ ἄρ' ἂν γένοιτο κτλ.

Alc1 133e, bis τὸ συμπέρασμα, ὅτι ὁ ἑαυτὸν ἀγνοῶν οὐκ ἔστι πολιτικὸς οὐδ' οἰκονομικὸς οὐδ' ἠθικός. εἰ δὴ μέλλεις κτλ.

Alc1 134b συλλογισμοῦ πρώτη πρότασις· ὁ τὰ τῆς πολιτείας μέλλων πράττειν ὀρθῶς ἀρετῆς τοῖς πολίταις μεταδίδωσιν. δύναιτο δ' ἄν τις κτλ.

Alc1 134c δευτέρα πρότασις· οὐδεὶς ἀρετῆς τοῖς πολίταις μεταδιδοὺς δύναται μὴ ἔχειν ἀρετήν. ἵνα μὴ ὀνομάζωμεν.

Alc1 135c τῇ ἀποσιωπήσει ἐξογκοῖ τὸ πρᾶγμα, οἷον τὸ δουλοπρεπές. τὸ μὲν σὸν ἐγὼ κτλ.

Alc1 135d ἐγὼ μὲν ἐραστής, σὺ δὲ ἐρώμενος. πελαργοῦ.

Alc1 135e ἐπειδὴ τοὺς πελαργούς φασι γηράσαντας τοὺς γονεῖς ἀμοιβαίας κομιδῆς ἀξιοῦν, ἧς ἔτυχον ἐν τῇ νεοττείᾳ παρ' αὐτῶν. ΕΙΣ ΤΟΝ ΔΕΥΤΕΡΟΝ ΑΛΚΙΒΙΑΔΗΝ ἐνεούς.

Alc2 140d ἀφώνους, κωφούς, ἐξεστηκότας, νωδούς, νωχελεῖς, μετεώρους. ἐπουρίσῃ.

Alc2 147a ἀποπέμψῃ, ἢ ὡς νῦν, ἐφορμήσῃ. φθονεροῦ.

Alc2 147c φθονερὸς ὁ ἐπὶ τοῖς εὐπραγοῦσιν ἀχθόμενος καθ' ἑαυτόν. ἔστι δὲ καὶ ὁ ἐπίφθονος φθονερός. διαφέρει δὲ βασκάνου· ὁ γὰρ βάσκανος ὑπὸ φθόνου καὶ συκοφαντεῖ καὶ κατηγορεῖ (l. κακηγορεῖ), ἀπὸ τοῦ βαβάκτου ἴσως. ἔστι δὲ βαβάκτης ὁ κράκτης καὶ μανιώδης. φαῦλος. [5]

Alc2 147d φαῦλον. τοῦτο τὸ ὄνομα ἐπὶ τεσσάρων ἐννοιῶν τάσσεται, κατ' ἐναντιότητα παραλαμβανομένων. ἐπὶ ἁπλότητος καὶ εὐηθείας Δημοσθένης (XIX 30) “οὐ γὰρ εἰ φαύλοις ὑμεῖς προστάταις χρῆσθε·” ἐπὶ δὲ τοῦ ἐπαίνου Εὐριπίδης (fr. 473) φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν· ἐπὶ δὲ μεγέθους, φαῦλον στόμα ἀντὶ τοῦ μέγα· ἐπὶ δὲ μικρότητος εὐθέως ἐν ἀρχῇ τοῦ

κατ' Ἀριστοκράτους (XXIII 1) λέγουσι δὲ καὶ τὴν φαυλίαν ἐλαίαν μικρὸν καρπὸν (l. μικρόκαρπον) οὖσαν οὕτως ὀνομάζεσθαι. ἐκνενίκηκε μέντοι τὴν παλαιὰν χρῆσιν ἡ εἰς τὸ κακὸν μετάληψις· φαῦλον γὰρ οἱ πλεῖστοι τὸ κακὸν ἐξακούουσιν. μάργον.

Alc2 148a μανικόν. προὔργου.

Alc2 149e πλέον, ἢ συμφέρον ὡς νῦν. δωροδόκοι.

Alc2 150a δωροδόκοι καὶ οἱ δῶρα λαμβάνοντες καὶ οἱ δῶρα διδόντες. Δημοσθένης ἐν Φιλιππικῷ (III 45) ἐπὶ τοῦ Ζηλίτου ἀριθμίου (sic: l. Ἀρθμίου) ἔφη δωροδόκος, ὅπερ ἐν ἴσῳ κεῖται τῷ δῶρα διδούς. ἐπὶ δὲ τοῦ δῶρα λαμβάνειν πολλὴ ἡ παράθεσις, ὥσπερ καὶ ἐνταῦθα. ΕΙΣ ΤΟΝ ΙΠΠΑΡΧΟΝ ἐκ Φιλαϊδῶν.

Hipparch 228b Φιλαΐδαι δῆμος Αἰγηΐδος. στεῖχε.

Hipparch 229a ἴθι, πορεύου. Στειριακῇ ὁδῷ.

Hipparch 229a bis Στειρίαι δῆμος Πανδιονίδος, ἐφ' οὗ ἡ ὁδὸς οὕτω καλεῖται. τέως.

Hipparch 229d δηλοῖ τὸ πρὸ τοῦ. Δημοσθένης (XIX 314) “ὁ τέως προσκυνῶν τὴν θόλον”. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (447 sq.)— μόλις στεφανηπλοκοῦς' ἔβοσκον ἐν ταῖς μυρίναις (sic), τέως μὲν οὐκ ἄν ..... Ζωΐλος ἐν τῷ εἰς Πολύφημον ἐγκωμίῳ· “οὕτως γὰρ ὡμογνωμόνησαν οἱ θεοὶ περὶ τῆς τιμωρίας ταύτης, ὥστε πάντοθεν Ὀδυσσεὺς τέως ὁ σῳζόμενος καὶ τὰς ναῦς ἀκεραίους περιποιούμενος περιώφθη μετὰ τὴν ἀρὰν ὑπὸ τῆς Ἀθηνᾶς.” ἐν δὲ τοῖς Ἀριστοφάνους Τελμισ〈σ〉εῦσιν (fr. 528 Kock) ἀντὶ τοῦ πρότερον κεῖται— οὐ γὰρ τίθεμεν τὸν ἀγῶνα τόνδε τὸν τρόπον ὥσπερ τέως ἦν, ἀλλὰ καινῶν πραγμάτων. ἐν δὲ τῇ Εἰρήνῃ (686) ὁ αὐτὸς ἀντὶ τοῦ ἐν τοσούτῳ κέχρηται, περὶ Ὑπερβόλου λέγων— ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὢν τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο. καὶ ἔτι ἐν τῇ Εἰρήνῃ (31) εὕρηται ἀντὶ τοῦ ἕως· λέγει δὲ ὁ ἱπποκομῶν τὸν κάνθαρον— ἐρεῖ δὲ (l. ἔρειδε), μὴ παύσαιο μηδέποτ' ἐσθίων τέως, ἕως αὐτὸν λάθῃς διαρραγείς. καὶ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας (XIX 326) ἀντὶ τοῦ ἕως· “ἀντὶ δὲ τοῦ Εὔβοιαν [...] ἀποδοθῆναι περὶ Δρυμοῦ καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων ἐξερχόμεθα. τέως ἦσαν ἔσω οἱ Φωκεῖς, οὐδέποτ' ἐποιήσαμεν.” παρὰ δὲ Φερεκύδῃ (FHG I 98, 112; FGH 3 F 102) καὶ τοὔνομα τῆς Ἰωνικῆς πόλεως, λέγω δὲ τῆς Τέω, κείμενον εὗρον, ὅθεν ἦν Ἀνακρέων ὁ μελοποιός, ἀπὸ τοῦ τέως. ὃ γὰρ θαύμασα (l. Ἀθάμας), φησίν, ἀναχωρῶν ἐκ τῆς χώρας, εὑρὼν Ἄρεαν τὴν θυγατέρα ἀθύρουσαν καὶ λίθους συμφοροῦσαν τοὺς νῦν ὄντας ἐν Τέῳ, ἤρετο “Ταῦτα τί ποιεῖς;” ἡ δὲ εἶπεν “Τέως σὺ ἐζήτεις ἵνα πόλιν κτίσῃς, ηὗρον”· ἀφ' οὗ ἀνακινηθεὶς τὴν πόλιν ὠνόμασεν Τέω. τέως.

Hipparch 229d bis ἵνα, καὶ ὡς, καὶ μέχρι τούτου, καὶ ἔμπροσθεν. ἀντικεῖσθαι δὲ τῷ τέως τὸ ἐν ὅσῳ. (T: non habet W.) ἀναθέσθαι.

Hipparch 229e ἀθετῆσαι. ἐπὶ τῶν πεσσῶν ἔλεγον οἱ παίζοντες· οὓς γὰρ μὴ κατὰ τὸ δέον ἐκίνησαν, τούτους ἀνετίθεσαν. ΕΙΣ ΤΟΥΣ ΕΡΑΣΤΑΣ ἦ που.

Amat 132b ἴσως, σχεδόν. ἤπουγε· πολλῷ πλέον. γηράσκω κτλ.

Amat 133c παροιμία· γηράσκω δ' ἀεὶ πολλὰ διδασκόμενος, ἐπὶ τῶν διὰ τὸ γῆρας ἐμπειροτέρων. εἵλκυσται μέντοι ἐκ τῶν Σόλωνος ἐλεγείων (fr. 22, 7 Diehl). εἰρωνικῶς.

Amat 133d εἰρωνία (sic) τὸ προχείρως καὶ μετὰ τοῦ πρὸς χάριν διαλέγεσθαι, κολακεία, ψευδολογία, καὶ εἴρωνα τὸν κόλακα. πένταθλοι.

Amat 135e ( 1) οἱ τὸν ἀγῶνα τὸν πένταθλον ἀγωνιζόμενοι. ἔστι γὰρ— πένταθλος οὗτος τοῖς νέοις ἀγωνία, πάλη, σίγυννος, ἅλμα, δίσκος καὶ δρόμος. (2) σίγυννος δέ ἐστι ξυστὸν δόρυ· παρ' Ἡροδότῳ δὲ (V 9) τὸ ὁλοσίδηρον ἀκόντιον. (3) πέλτη δὲ ἀσπὶς ἴτυν οὐκ ἔχουσα (4) ἢ τετράγωνος, ἣν οἱ

φοροῦντες λέγονται πελτασταί, ἢ τοξόται, ἢ οἱ τοὺς ξυστοὺς κατέχοντες. ΕΙΣ ΤΟΝ ΘΕΑΓΗ ἄττα.

Thg 121a ἄττα δασυνόμενον μὲν ἅτινα σημαίνει, ψιλούμενον δὲ τινά· συντάσσεται δὲ καὶ ἀριθμοῖς· μυρία ἄττα. συμβουλὴ ἱερὸν χρῆμα.

Thg 122b παροιμία ἱερὸν συμβουλή, ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων. δεῖ γὰρ τὸν συμβουλεύοντα μὴ τὸ ἴδιον σκοπεῖν· τὸ γὰρ ἱερὸν οὐδενὸς ἴδιον ἀλλὰ τῶν χρωμένων ἐστὶ κοινόν· ἐπειδὴ καταφεύγουσιν ὥσπερ ⁂ εἰς τὰ ἱερὰ θέλοντες συμβουλεύεσθαι ἄνθρωποι. προσήκει οὖν τοῖς συμβουλεύουσιν ἀψευδεῖν καὶ τὰ βέλτιστα κατὰ τὴν αὑτῶν γνώμην συμβουλεύειν. ἄλλοι δέ φασιν ἔπαινον φέρειν τῆς συμβουλῆς τὴν παροιμίαν· εἶναι γὰρ αὐτὴν θείαν καὶ ὑπὲρ ἄνθρωπον. μέμνηται δὲ αὐτῆς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ (fr. 33 Kock). ἐδιδάξατο.

Thg 122e ἀντὶ τοῦ οὐκ αὐτὸς ἀλλὰ δι’ ἑτέρου ἐδίδαξέ τινος τί ἂν ἡμῖν ἀπεκρίνατο; γρ.

Thg 125c4 τί ἂν οἴει αὐτὸν ἀποκρίνασθαι; (b (R z Schanz) TW: οἴῃ W). ἔμβραχυ.

Thg 127c ὅπερ ἂν εἴποι τις εὐχερῶς εἰπεῖν θέλων ἢ ἁπλῶς, τοῦτο ἔμβραχυ λέγεται. ἔμβραχυ συντόμως καὶ ἁπλῶς. Ὑπερείδης ἐν τῷ κατὰ Ἀριστοφῶντος (fr. 41 Blass) “οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράττειν καὶ γράφειν ὅτι ἂν ἐνβράχυ (sic) βούληται”. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (390 sq.)— ποῦ δ’ οὐχὶ διαβέβληκεν, ὅπου περ ἐνβράχυ (sic) εἰσὶ θεαταὶ καὶ τραγῳδικοὶ χοροί; Κρατῖνος Ὥραις (fr. 254 Kock)— ἔδει παρέχειν ὅτι τις εὔξαιτο ἐνβράχυν (sic). Ἀναγυρασίων.

Thg 127e Ἀναγυροῦς δῆμος Αἰαντίδος, ἀφ’ οὗ Ἀναγυράσιοι. ΕΙΣ ΤΟΝ ΧΑΡΜΙΔΗΝ Ποτειδαίας.

Chrm 153a Ποτιδαία πόλις Θρᾴκης ἐν Μακεδονίᾳ, κτίσμα Κορινθίων. καταντικρύ.

Chrm 153a,bis ἀντικρὺ παρὰ μὲν Ὁμήρῳ ἐστὶ τὸ κατ’ εὐθὺ καὶ ἐξ ἐναντίας (Γ 359)— ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα ἔγχος καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ δευτέρᾳ (II 4, 5) ὁμοίως· “οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι, καὶ ἀντικρὺ διέξοδον εἰς τὸ ἔξω.” παρὰ Δημοσθένει δὲ ἐν τῷ κατὰ Ἀριστοκράτους (immo F. L., XIX 154) ἀντὶ τοῦ φανερῶς· ”[φανερῶς] γράψας, ὥσπερ νῦν ἐγὼ τοῖς ῥήμασιν, οὕτως ἀντικρύ.” καὶ Θουκυδίδης ἐν τῇ ὀγδόῃ (VIII 64, 5) “σωφροσύνην λαβοῦσαι πόλεις καὶ ἄδειαν τῶν πραττομένων ἐχώρησαν ἐπὶ τὴν ἀντικρὺ ἐλευθερίαν,” τὴν φανερὰν λέγων. σημαίνει δὲ καὶ τὸ ταχέως καὶ ὁλοσχερῶς. Ὅμηρος (Π 114)— Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς πλῆξ’ ἄορι μεγάλῳ, αἰχμὴν (sic) παρὰ καυλὸν ὄπισθεν, ἀντικρὺ δ’ ἀπάραξε. καὶ τὸ ἐκ τοῦ ἐναντίου (χ 16)— ἀντικρὺ δ’ ἁπαλοῖο δι’ αὐχένος ἤλυθ’ ἀκωκή. ἄρτι.

Chrm 153b ἄρτι· τοῦτο σημαίνει τὸ παρὸν καὶ ὑπόγυον καὶ τὸ παραυτίκα μέλλον γίγνεσθαι. ἐπιεικῶς.

Chrm 153c ἐπιεικῶς· ἱκανῶς, ἐπίπαν, φιλικῶς παρὰ Πλάτωνι καὶ ἐπιεικὴς ὁ μέτριος. εὐγνωμόνως καὶ ἐπιμελῶς· ἔσθ’ ὅτε καὶ ἀντὶ τοῦ συνεχῶς. ἅδην.

Chrm 153d ἅδην· εἰς κόρον, ἱκανῶς, δαψιλῶς, ἀρκούντως. λευκὴ στάθμη.

Chrm 154b παροιμία λευκὴ στάθμη, ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, κἂν τούτῳ μηδὲν συνιέντων. ἡ γὰρ ἐν τοῖς λευκοῖς λίθοις στάθμη λευκὴ οὐ δύναται δεικνύναι, διὰ τὸ μὴ παραλλάττειν καθάπερ ἡ διὰ τῆς μίλτου γιγνομένη, ὡς Σοφοκλῆς Κηδαλίωνι (fr. 330 Pearson)— τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη. ἔστι δὲ στάθμη σπάρτος τεκτονική. κατ’ ἔλλειψιν δὲ εἴρηται ἡ παροιμία· διὸ καὶ ἀσαφὴς ἐγένετο. τὸ δὲ ὅλον ἐστὶ τοιοῦτον· ἐν λευκῷ λίθῳ λευκὴ στάθμη. ἐν ἐμαυτοῦ ( T: ἐπ’ B W).

Chrm 155d γρ. ἐν ἑαυτῷ. (W: non habet T.) ἀμελοῖεν ( W et γρ.

Chrm 156e T Stobaeus: ἀγνοοῖεν B T). ὀμώμοκα ( T: ὤμοσα B W).

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Chrm 157c γρ. καὶ ὀμώμοκα (b (R z Schanz) W). Ἕρμαιον.

Chrm 157c, bis ἕρμαιον· τὸ κέρδος τὸ ἀπροσδόκητον, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. στλεγγίδα.

Chrm 161e στλεγγὶς ξύστρα· τὸ πάλαι δὲ ἡ τοῦ καλάμου κόμη παρὰ Λάκωσιν, ᾗ ἀπεμάσσοντο. στλεγγίσματα δὲ τὰ περιξύσματα. κυρίως [κυριοι] δὲ καλάμιναι ξύστραι. ὁ δὲ Θυατειρηνὸς στλεγγίδα μὲν τὴν ξύστραν, στλαγγίδα δὲ τὸ χρυσοῦν στεφάνιον. ἐπ' οἰκήματος.

Chrm 163b ἐπὶ τοῦ δεσμωτηρίου, ὡς Λυσίας, ἢ ἐπὶ πορνείου, ὡς Ἀττικοί. ἐγγύη, πάρα δ' ἄτη.

Chrm 165a παροιμία ἐγγύα, πάρα δ' ἄτα, ἐπὶ τῶν ῥᾳδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττόντων. λέγουσι δὲ αὐτὴν ἐν Δελφοῖς ἀναγεγράφθαι. οἱ δὲ εἶπον οὐχ οὕτως ἔχειν, ἀλλὰ μόνον ἐγγύη ἄτη· καὶ παρέχονται μάρτυρα τούτου Κρατῖνον τὸν νεώτερον λέγοντα (fr. 12 Kock)— εἰς ἐγγύας τρεῖς 〈εἰσ〉 πεσὼν ἀνῃρέθην. —οὔπω τότ' ἐν Δελφοῖσιν ἦν τὰ γράμματα τὴν ἐγγύην ἄτην 〈λέγοντ'; —ἦν,〉 ἀλλ' ἐγὼ φιλέταιρον εἶχον ἔθος (l. ἦθος). ὅτι δέ ἐστιν ἡ ἐν Δελφοῖς "ἐγγύα, πάρα δ' ἄτα" δῆλον ποιεῖ Πλάτων Χαρμίδῃ, λέγων "ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερα γράμματα ἀναθέντες, τό τε μηδὲν ἄγαν καὶ τὸ ἐγγύα, πάρα δ' ἄτα". λογιστικῆς.

Chrm 165e λογιστική ἐστι θεωρία τῶν ἀριθμητῶν, οὐχὶ δὲ τῶν ἀριθμῶν μεταχειριστική, οὐ τὸν ὄντως ἀριθμὸν λαμβάνουσα, ὑποτιθεμένη τὸ μὲν ἓν ὡς μονάδα, τὸ δὲ ἀριθμητὸν ὡς ἀριθμόν, οἷον τὰ τρία τριάδα εἶναι καὶ τὰ δέκα δεκάδα· ἐφ' ὧν ἐπάγει τὰ κατὰ ἀριθμητικὴν θεωρήματα. θεωρεῖ οὖν τοῦ 〈το〉 μὲν τὸ κληθὲν ὑπ' Ἀρχιμήδους βοϊκὸν πρόβλημα, τοῦτο δὲ μηλίτας καὶ φιαλίτας ἀριθμούς, τοὺς μὲν ἐπὶ φιαλῶν, τοὺς δ' ἐπὶ ποίμνης· καὶ ἐπ' ἄλλων δὲ γενῶν τὰ πλήθη τῶν αἰσθητῶν σωμάτων σκοποῦσα, ὡς περὶ τελείων ἀποφαίνεται. ὕλη δὲ αὐτῆς πάντα τὰ ἀριθμητά· μέρη δὲ αὐτῆς αἱ Ἑλληνικαὶ καὶ Αἰγυπτιακαὶ καλούμεναι μέθοδοι ἐν πολυπλασιασμοῖς καὶ μερισμοῖς, καὶ αἱ τῶν μορίων συγκεφαλαιώσεις καὶ διαιρέσεις, αἷς ἰχνεύει τὰ κατὰ τὴν ὕλην ἐφοδευόμενα τῶν προβλημάτων τῇ περὶ τοὺς τριγώνους καὶ πολυγώνους πραγματείᾳ. τέλος δὲ αὐτῆς τὸ κοινωνικὸν ἐν βίῳ καὶ χρήσιμον ἐν συμβολαίοις, εἰ καὶ δοκεῖ περὶ τῶν αἰσθητῶν ὡς τελείων ἀποφαίνεσθαι. γεωμετρικῆς.

Chrm 165e, bis γεωμετρία ἐστὶν ἐπιστήμη θεωρητικὴ μεγεθῶν καὶ σχημάτων, καὶ τῶν περιοριζουσῶν καὶ περατουσῶν ταῦτα ἐπιφανειῶν καὶ γραμμῶν, τῶν τε ἐν τούτοις παθῶν καὶ σχέσεων, καὶ ἐνεργειῶν 〈ἐν〉 μορφαῖς, καὶ κινήσεων ἐν ποιότησιν. πάθη μὲν οὖν λέγεται τὰ περὶ τὰς διαιρέσεις, σχέσεις δὲ οἱ τῶν μεγεθῶν πρὸς ἄλληλα λόγοι καὶ θέσεις καὶ καθ' αὑτὰ ἐπιβάλλουσιν ἡμῖν αὐτοῖς καὶ πρὸς ἄλληλα συγκρίνουσιν. τὸ τρίτον τῷ σωτῆρι.

Chrm 167a παροιμία τρίτον τῷ σωτῆρι, ἐπὶ τῶν τελείως τι πραττόντων. τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν τρίτον κρατῆρα ἐκίρνων τῷ Διὶ τῷ σωτῆρι. τέλειος γὰρ ὁ τρία ἀριθμός, ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχει, καὶ πρῶτος οὗτος τῶν ἀριθμῶν ἀρτιοπέριττος. τέλειος δὲ καὶ ὁ Ζεύς, ὥστε κατὰ λόγον τρίτον τῷ Διὶ σπένδεταί τε καὶ ὁ κρατὴρ τρίτος τίθεται. Σοφοκλῆς Ναυπλίῳ (fr. 425 Pearson)— καὶ Διὸς σωτῆρος (l. σωτηρίου) σπονδὴ τρίτου κρατῆρος, καὶ Πλάτων Πολιτείᾳ (583 b) καὶ ἐνταῦθα. ἁμῶς γέ πως.

Chrm 175c τοῦτο ἐν ἴσῳ καθ' ὁντινοῦν τρόπον. ἔνιοι τὸ μετρίως. παρὰ Πλάτωνι τὸ ἐκ παντὸς τρόπου. ὅσαι ἡμέραι.

Chrm 176b διὰ παντός, πάντοτε, καθ' ἡμέραν. ΕΙΣ ΤΟΝ ΛΑΧΗΤΑ Δηλίου.

La 181b χωρίον Βοιωτίας τοῦτο. στύρακος.

La 184a κέντρον, κέρας, ἐπιδορατίς. ἐν τῷ Καρὶ .

La 187b .. ὁ κίνδυνος. παροιμία ἐπὶ τῶν ἐπισφαλέστερον καὶ ἐν ἀλλοτρίοις κινδυνευόντων· Κᾶρες γὰρ δοκοῦσι πρῶτοι μισθοφορῆσαι, ὅθεν καὶ εἰς πόλεμον αὐτοὺς προέταττον. ἐντεῦθεν γὰρ καὶ

τοὺς μικροὺς στρατιώτας τινὲς Καρίωνας προσηγόρευον· καὶ τὸ παρ’ Ὁμήρῳ (I 378) δὲ “ἐν Καρὸς αἴσῃ” ἐν τῷ τυχόντι τινὲς ἀκούουσιν. μέμνηται δὲ αὐτῆς Ἀρχίλοχος λέγων (fr. 40 Diehl) καὶ δὴ ’πίκουρος ὥστε Κὰρ κεκλήσομαι, καὶ Ἔφορος ἐν α′ ἱστοριῶν (FHG I 239, 23; FGH 70 F 12), καὶ Φιλήμων ἐν Γάμῳ (fr. 18 Kock) ἐν Καρὶ τὸν κίνδυνον· οἶδα, δέσποτα, καὶ Εὐριπίδης Κύκλωπι (654) δράσω τάδε· ἐν Καρὶ κινδυνευτέον (sic). καὶ Κρατῖνος Βουκόλοις (fr. 16 Kock) ἐν Καρὶ τὸν κίνδυνον· ἐν ἐμοὶ δὴ δοκεῖ πρῶτα (l. πρώτῳ) πειρᾶσθαι. καὶ Πλάτων ἐνταῦθα. ἐν πίθῳ ἡ κεραμεία.

La 187b,bis παροιμία, ἐν πίθῳ τὴν κεραμίαν, ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων καὶ ἤδη τῶν τελειοτέρων. κέχρηται δὲ αὐτῇ Ἀριστοφάνης ἐν Προάγωνι (fr. 469 Kock) καὶ Πλάτων ὁ φιλόσοφος ἐν Γοργίᾳ (514 e), λέγων “τὸ λεγόμενον δὴ τοῦτο, ἐν πίθῳ τὴν κεραμίαν ἐπιχειρεῖν μανθάνειν,” καὶ ἐνταῦθα. Σόλωνος.

La 188b ἀεὶ γηράσκω πολλὰ διδασκόμενος (fr. 22, 7 Diehl). γερροφόροις.

La 191c τὰ σκεπάσματα πάντα οἱ Ἀττικοὶ γέρρα ἔλεγον. τινὲς δὲ δερμάτινα σκεπάσματά τινα καὶ Περσικά, οἷς ἀντὶ ἀσπίδων ἐχρῶντο. οἱ δὲ γέρρα τὰς σκηνάς φασι, καὶ γερροφόρους τοὺς τὰ εἰρημένα φέροντας. οὐκ ἂν πᾶσα ὗς γνοίη.

La 196d ση 〈μείωσαι〉 παροιμίαν κἂν κύων κἂν ὗς γνοίη, ἐπὶ τοῦ ῥᾳδίου καὶ εὐγνώστου, ὥστε καὶ τὰ ἀμαθέστατα ζῷα καταμαθεῖν. Αἰξωνέα.

La 197c Αἰξωνὶς δῆμος Κεκροπίδος, καὶ Αἰξωνεῖς οἱ ἐκεῖθεν, οἳ καὶ βλάσφημοι ἐκωμῳδοῦντο εἶναι· παρ’ ὃ καὶ αἰξωνεύεσθαί φασι τὸ βλασφημεῖν· ὃ καὶ ἡ Πλατωνικὴ ῥῆσις δηλοῖ. ΕΙΣ ΤΟΝ ΛΥΣΙΝ Ἀκαδημείας.

Ly 203a Ἀθήνῃσι προάστειον γυμνάσιον ἀλσῶδες, ἀπό τινος Ἀκαδήμου ἥρωος ὀνομασθέν. Αἰξωνέως.

Ly 204e Αἰξωνὶς δῆμος Κεκροπίδος καὶ Αἰξωνεὺς ὁ ἐκεῖθεν. κέλησι.

Ly 205c ἄζυξιν ἵπποις. κρονικώτερα ( sic TW: χρονικώτερα B).

Ly 205c,bis ἢ τὰ ἀρχαιότερα καὶ παλαιά, ἢ τὰ εὐήθη. πρὶν νενικηκέναι .

Ly 205d .. ᾄδεις. παροιμία πρὸς τῆς νίκης ᾄδεις τὸ ἐγκώμιον, ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων. ἠρτίαζον.

Ly 206e ἀρτιασμὸς καὶ ἀρτιάζειν ἐστὶ τὸ δραξάμενον ἀστραγάλων ἤ τινων ἄλλων ἐξετάζειν τὸν συμπαίζοντα πότερον ἀρτίους ἢ περισσοὺς κατέχει, ὡς καὶ Ἀριστοφάνης Πλούτῳ (816)— στατῆρσι δ’ οἱ θεράποντες ἀρτιάζομεν. φορμίσκων.

Ly 206e,bis καλαθίσκων. θαμά.

Ly 207a πυκνά. ἐπηλυγισάμενος.

Ly 207b ἐπισκιασάμενος, ἐπικρυψάμενος· λύγη γὰρ ἡ σκιά. κοινὰ τά γε φίλων.

Ly 207c ση 〈μείωσαι〉. παροιμία, κοινὰ τὰ φίλων ἐπὶ τῶν εὐμεταδότων. φασὶ δὲ λεχθῆναι πρῶτον τὴν παροιμίαν περὶ τὴν μεγάλην Ἑλλάδα, καθ’ οὓς χρόνους ὁ Πυθαγόρας ἔπειθεν τοὺς αὐτὴν κατοικοῦντας ἀδιανέμητα πάντα κεκτῆσθαι. φησὶ γοῦν ὁ Τιμαῖος ἐν τῇ ε′ (FHG I 211, 77) οὕτως· “Προσιόντων δ’ οὖν αὐτῷ τῶν νεωτέρων καὶ βουλομένων συνδιατρίβειν οὐκ εὐθὺς συνεχώρησεν, ἀλλ’ ἔφη δεῖν καὶ τὰς οὐσίας κοινὰς εἶναι τῶν ἐντυγχανόντων”. εἶτα μετὰ πολλά φησι· “καὶ δι’ ἐκείνους πρῶτον ῥηθῆναι κατὰ τὴν Ἰταλίαν ὅτι κοινὰ τὰ φίλων.” ἐμνήσθη δὲ αὐτῆς καὶ ἐν τῷ Φαίδρῳ (279 c), “καὶ ἐμοὶ ταῦτα συνεύχου· κοινὰ γὰρ τὰ τῶν φίλων”, καὶ Ἀριστοτέλης ἐν τῷ θ′ τῶν Ἠθικῶν (1159 b 31). Κλέαρχος δέ φησιν (FHG II 320, 59) ὑπὸ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ πεμφθῆναι δῶρα εἰς Δελφοὺς Ἀπόλλωνι καὶ Ἀρτέμιδι· τῶν δὲ Δελφῶν μαντευομένων εἰ ἐξ ἴσης τὴν ἀνάθεσιν ποιήσονται, ἔφησεν ὁ Θεός· Κοινὰ τὰ τῶν φίλων. καὶ Μένανδρος Ἀδελφοῖς β′ (fr. 9 Kock). παιδοτρίβην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ly 207d ἀλείπτην, γυμναστήν. ὀρικοῦ.

Ly 208b τῶν ἡμιόνων· ὀρεὺς γὰρ ὁ ἡμίονος. τὸ ὅμοιον τῷ ὁμοίῳ.

Ly 214b παροιμία ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον· ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων καὶ ἀλλήλοις ἀεὶ συνδιαγόντων ἐξ Ὁμήρου (ρ 218) λαβοῦσα τὴν ἀρχήν. ἐμνήσθη ταύτης καὶ ἐν τῷ Συμποσίῳ (195 b), “ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει ὅμοιον ὁμοίῳ δεῖ (sic) πελάζειν”, καὶ ἐνταῦθα, καὶ Μένανδρος Σικυωνίᾳ (l. Σικυωνίῳ, fr. 443 Kock). καὶ τὸν Ἡσίοδον.

Ly 215c τὰ Ἡσιόδου ἔπη (OD 21)— εἰς ἕτερον γὰρ τίς τε ἰδὼν ἔργοιο χατίζων πλούσιον, ὃς σπεύδει μὲν ἀρώμεναι ἠδὲ φυτεύειν οἶκον τ’ εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων εἰς ἄφενος σπεύδοντ’· ἀγαθὴ δ’ ἔρις ἥδε βροτοῖσιν. καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων, καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ. ἀλλόκοτον.

Ly 216a ἐξηλλαγμένον καὶ ἰδιότροπον. τὸ καλὸν φίλον.

Ly 216c παροιμία ἐπὶ τῶν τὸ συμφέρον αἱρουμένων. εἰ μέν τι.

Ly 222b γρ. εἰ μέντοι τι W. ΕΙΣ ΤΟΝ ΕΥΘΥΔΗΜΟΝ σκληφρός .

Euthd 271b .. προφερής. σκληφρὸς ὁ τῷ μὲν χρόνῳ πρεσβύτερος, τῇ δὲ ὄψει νεώτερος δοκῶν· προφερὴς δὲ ὁ τῷ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει πρεσβύτερος. ἥκιστα.

Euthd 272b οὐδαμῶς. ἀήθεις ( T: ἀληθεῖς BW).

Euthd 277d γρ. καὶ ἀήθεις W. χορεία (sic in mg.

Euthd 277d, bis t W: χορηγία BTW). σκολύθρια ταπεινὰ διφρία.

Euthd 278b ἔνιοι δὲ ὑποπόδια. ὥστ’ ἐκεῖνα.

Euthd 284b γρ. ὥστ’ ἐκεῖνα t W: ὥσγ’ ἐκλεινίᾳ T: ὥς γε κλεινία BW. ἐν Καρὶ .

Euthd 285c .. ὁ κίνδυνος. ση〈μείωσαι〉. παροιμία, ἐν Καρὶ ὁ κίνδυνος ( corr. τὸν κίνδυνον) ἐπὶ τῶν ἀσφαλέστερον διακινδυνευόντων· Κᾶρες δὲ δοκοῦσι πρῶτοι μισθοφορῆσαι, ὅθεν καὶ εἰς πόλεμον αὐτοὺς προέταττον. ἐντεῦθεν γὰρ καὶ τοὺς μικροὺς στρατιώτας τινὲς Καρίωνας προσηγόρευον· καὶ τὸ παρ’ Ὁμήρῳ δὲ (I 378) “ἐν Καρὸς αἴσῃ” ἐν τῷ τυχόντι τινὲς ἀκούουσιν. μέμνηται δὲ αὐτῆς Ἀρχίλοχος λέγων (fr. 40 Diehl)— καὶ δὴ ’πίκουρος ὥστε Κὰρ κεκλήσομαι, καὶ Ἔφορος ἐν α′ Ἱστορίας (FHG I 239, 23; FGH 70 F 12), καὶ Φιλήμων ἐν Γάμῳ (fr. 18 Kock)— ἐν Καρὶ τὸν κίνδυνον· οἶσθα, δέσποτα, καὶ Εὐριπίδης Κύκλωπι (650)— δράσω τάδε· ἐν Καρὶ κινδυνευτέον, καὶ Κρατῖνος Βουκόλοις (fr. 16 Kock)— ἐν Καρὶ τὸν κίνδυνον· ἐν ἐμοὶ δὴ δοκεῖ πρῶτα (l. πρώτῳ) πειρᾶσθαι. Πλάτων ὁ φιλόσοφος Λάχητι (187 b). τῇ Μηδείᾳ.

Euthd 285c, bis αὕτη γὰρ συνεβούλευσεν, ἀπὸ Κόλχων μετὰ Ἰάσονος εἰς Ἰωλκὸν ἐλθοῦσα, ταῖς Πελίου θυγατράσιν ἵνα, εἰ τοῦτον βούλοιντο νέον γενέσθαι, ἑψηθῇ. σὺ δὲ κελεύεις; ὅτι ( ita legendum: οὐδὲ κελεύεις ὅτι BW: om.

Euthd 286e T). γρ. σὺ δὲ κελεύεις (W). κορύδους.

Euthd 291b κόρυδοι ὄρνιθες ὄρτυξιν ὅμοιοι, οὓς ἔνιοι μὲν κορυδάλλους φασίν, Γῆς καὶ Ἀθηνᾶς ἱεροί. ὁ Διὸς Κόρινθος.

Euthd 292e παροιμία Διὸς Κόρινθος ἐπὶ τῶν ἄγαν μὲν ὑπερσεμνυνομένων, κακῶς δὲ καὶ πονηρῶς ἀπαλλαττόντων. τῶν γὰρ Κορινθίων βαρέα τοῖς Μεγαρεῦσιν ἀποίκους (l. –οις) οὖσιν ἐπιταττόντων τὸ μὲν πρῶτον ὑπήκουον· ὡς δὲ ὕβρεως οὐδὲν ἀπελίμπανον οἱ Κορίνθιοι, ἐλπίσαντες οἱ Μεγαρεῖς οὐδὲν ἂν παθεῖν ἀποστάντες, παραχρῆμα τῶν Κορινθίων ἀφίστανται. πέμπουσιν οὖν πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ παρελθόντες εἰς τὴν ἐκκλησίαν ἄλλα τε πολλὰ διεξῄεσαν, καὶ τέλος ὅτι δικαίως ἂν στενάξειεν ἐπὶ τοῖς γινομένοις ὁ Διὸς Κόρινθος, εἰ μὴ λήψονται δίκην παρ’ αὐτῶν. ἐφ’ οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τούς τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρέσβεις παραχρῆμα λίθοις ἔβαλλον, καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποχωρούντων, ἐφεπόμενοι καὶ κτείνοντες ἅμα παισὶν (l. παίειν) ἀλλήλοις 〈τὸν Διὸς Κόρινθον〉 ἐκέλευον. μέμνηται δὲ ταύτης Ἀριστοφάνης ἐν τοῖς Βατράχοις, λέγων (443) ἀλλ' ἦ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν; καὶ ἐν Ταγηνισταῖς (fr. 509 Kock), καὶ Ἔφορος ἐν πρώτῳ (sic) ἱστοριῶν (FHG I 237, 17; FGH 70 F 19), καὶ Πλάτων Εὐθυδήμῳ. ἄλλοι δὲ ἐπὶ τῶν ἐπ' οὐδενὶ τέλει ἀπειλούντων φασὶν εἰρῆσθαι τὴν παροιμίαν. καλὰ δὴ παταγεῖς ( Photius: πάντα λέγεις BTW). [20]

Euthd 293d παροιμία καλὰ δὴ πάντ' ἄγεις ( sic) ἀντὶ τοῦ ἀγγέλλεις, ἐπὶ τῶν αἴσια ἀναγγελλόντων. πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς (fr. 116 Kock) καὶ Πλάτων Εὐθυδήμῳ. λίνον λίνῳ συνάπτεις.

Euthd 298c παροιμία λίνον λίνῳ συνάπτεις, παροιμία ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων ἢ δρώντων, ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων. μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ′ περὶ φυσικῆς ἀκροάσεως (207 a, 17) "οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἔστι," καὶ Στράττις Ποταμοῖς (l. Ποταμίοις fr. 38 Kock) καὶ Πλάτων Εὐθυδήμῳ. ἔγρυξα. [5]

Euthd 301a ἔκραξα, ἢ ἐφθεγξάμην ὡς νῦν. Ἀπόλλων πατρῷος.

Euthd 302d φασί τινες Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τούτους γονέας ἔχειν Γῆν καὶ Ἥλιον, ὃς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. οἱ δέ, ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων Ἴωνα ἐγέννησεν, ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα πατρώϊον αὐτοὺς Ἀπόλλωνα ἔχειν. ἕρκειος (ἕρκιος codd. [5]

Euthd 302d,bis ). ἕρκη τοὺς οἴκους Ἀθηναῖοί φασιν· ἐκ τούτων δὲ καὶ Ζεὺς ἕρκιος παρ' αὐτοῖς, ὃν ἵδρυον ἐν τούτοις φυλακῆς χάριν. φρατρία δ' ἐστὶ τὸ τρίτον μέρος ἑκάστης φυλῆς, καὶ Ἀθηνᾶ φρατρία ἡ τούτου ἔφορος. πυππάξ (πύπαξ T, sed mox πύππαξ: πυπὰξ, πυππὰξ B).

Euthd 303a τὸ νῦν βόμβαξ λεγόμενον πύππαξ ἔλεγον, ὡς καὶ Λυκόφρων ᾠήθη. οὐκ ἔστι δέ· τὸ μὲν γὰρ πύππαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐγκωμίου, τὸ δὲ βόμβαξ οὐκέτι. κολούεσθαι.

Euthd 305d ἐλαττοῦσθαι, ἐμποδίζεσθαι. ὅσα μεταξύ κτλ.

Euthd 306a,c1 α′ ἀγαθόν. μεταξὺ τοῦ μὲν χεῖρον. τοῦ δὲ βέλτιον. κακόν. β′ ἀγαθόν. [5]

Euthd 306a,c2 μεταξὺ χεῖρον. ἀμφοῖν. ἀγαθόν. γ′ κακόν. [5]

Euthd 306a,c3 μεταξὺ βέλτιον. ἀμφοῖν. κακόν. ΕΙΣ ΤΟΝ ΠΡΩΤΑΓΟΡΑΝ μαθήμασιν (–σι T: μάθησιν B: μαθήσει W). [5]

Prt 313c γρ. καὶ μαθήμασι (W). Ἀνδροτίωνος ( T: Ἀριστίωνος BW).

Prt 315c γρ. καὶ Ἀνδροτίωνος (W). λιπαρῶς.

Prt 315e ἐπιμελῶς, προσεδρευτικῶς. ὁ δὲ μετὰ λόγου κτλ.

Prt 324b ση 〈μείωσαι〉 τί λέγει (T: non habet W). μορίων ἄλλο οἷον ἐπιστήμη ( T: ἀλλ' οἷον B: ἀλλοῖον W).

Prt 330b γρ. οἷον ἐπιστήμη· ἐν ἄλλῳ δὲ μορίων ἀλλοίων (W). τὸ ἔλαιον.

Prt 334b ση 〈μείωσαι〉 περὶ ἐλαίου. (T: non habet W.) ἀσχολία.

Prt 335c μέριμνα, φροντίς. εἶμι.

Prt 335c,bis πορεύομαι. τρίβωνος.

Prt 335d στολὴ ἔχουσα σημεῖα ὡς γραμμάτια (l. γαμμάτια) τριβώνιον δὲ ἱμάτιον παλαιὸν κατατετριμμένον. δολιχοδρόμων.

Prt 335e δολιχοδρόμοι εἰσὶν οἱ τὸν δόλιχον τρέχοντες, οὗ αἰτία ἥδε· δρομοκήρυκες ἐξ Ἀρκαδίας ἐφοίτων εἰς τὴν Ἑλλάδα τῶν πολεμικῶν ἄγγελοι, καὶ ἀπείρητο αὐτοῖς ἱππεύειν ἀλλ' αὐτουργοῖς εἶναι

τοῦ δρόμου. τὸ ἀεὶ οὖν ἐν βραχεῖ τῆς ἡμέρας διαδραμεῖν στάδια ὁπόσα ὁ δόλιχος, δρομοκήρυκας εἰργάζετο καὶ ἐγύμναζεν ἐν τῷ πολέμῳ. ἡμεροδρόμων οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι. [5]

Prt 337b ἀμφισβητοῦσι κτλ. [Start of a diagram] ἀμφισβητεῖν φίλων ἐρίζειν ἐχθρῶν εὐδοκιμεῖν παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης ἐπαινεῖσθαι ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων εὐφραίνεσθαι μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα τῇ διανοίᾳ ἥδεσθαι ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα τῷ σώματι. [End of a diagram] πρυτανεῖον. [5]

Prt 337d θεσμοθέσιον, θόλος. λέγεται δὲ καὶ ἡ ἐπιμήνιος μισθοφορά. ῥαβδοῦχον.

Prt 338a ῥαβδοῦχοι ἄνδρες τῆς τῶν θεάτρων εὐκοσμίας ἐπιμελούμενοι. καθ’ Ἡσίοδον.

Prt 340d Ἡσιόδου (OD 287) τοῦ Ἀσκραίου τὴν μέντοι κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι ῥηϊδίως. ὀλιγὴ (sic) μὲν ὁδός, μάλα δ’ ἐγγύθι ναίει. τῆς δ’ ἀρετῆς ἱδρῶθα θεοὶ προπάροιθεν ἔθηκαν ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ’ αὐτήν, καὶ τρηχὺς τὸ πρῶτον. ἐπὴν δ’ εἰς ἄκρον ἵκηται ῥηϊδίη δ’ ἤπειτα (l. ἔπειτα) πέλει, χαλεπή περ ἐοῦσα. εἰς καιρόν. [5]

Prt 340e εὐκαίρως. πολλοῦ γε δεῖ.

Prt 341d τοῦτο καθ’ ὑπόκρισιν λέγεται ἀποφατικῶς ἀπὸ τοῦ πολὺ ἐνδεῖ. χαλεπόν.

Prt 341d,bis [Start of a diagram] τὸ χαλεπόν [Start of a diagram section] κακόν [End of a diagram section] [Start of a diagram section] οὐ ῥᾴδιον. [End of a diagram section][End of a diagram] τούτων κτλ.

Prt 343a ἑπτὰ σοφῶν ἐρέω κατ’ ἔπος πόλιν, οὔνομα, φωνήν. μέτρον μὲν Κλεόβουλος ὁ Λίνδιος εἶπεν ἄριστον. Χίλων δ’ ἐν κοιλῇ Λακεδαίμονι γνῶθι σαυτόν (sic). ὃς δὲ Κόρινθον ἔναιεν (sic), χόλου κρατέειν Περίανδρος. Πιττακὸς οὐδὲν ἄγαν. ὃς ἔην γένος ἐκ Μιτυλήνης. τέρμα δ’ ὁρᾶν βιότοιο Σόλων ἱεραῖς ἐν Ἀθήναις. τοὺς πλέονας κακίους δὲ Βίας ἀπέφηνε Πριηνεύς. ἐγγύην φεύγειν δὲ Θαλῆς Μιλήσιος ηὔδα. χαριέντως. [5]

Prt 344b ἀστείως, συνετῶς. σημαίνει δὲ καὶ τὸ μετὰ παιγνίας. οὐδένα ἀνθρώπων ἕκοντα ἐξαμαρτάνειν.

Prt 345e ση 〈μείωσαι〉 ὅτι ἀκούσια τὰ ἁμαρτήματα. (W: non habet T.) διόρισαι.

Prt 349c ἔξω τῶν ὅρων ποίησον. ἴτας.

Prt 349e ἐπὶ πάντα ὁρμῶντας. ΕΙΣ ΤΟΝ ΓΟΡΓΙΑΝ πολέμου κτλ.

Grg 447a παροιμία, πολέμου καὶ μάχης, πρὸς τὸν ἀπολειπόμενον τῆς θυσίας καὶ ὑστερήσαντα. παρεγγυᾷ δὲ ὅτι χρὴ πολέμου καὶ μάχης ἀπολιμπάνεσθαι, λόγων δὲ οὔ. οὕτω μεταλαγχάνειν.

Grg 447a,bis λείπει τῇ διανοίᾳ τὸ ἀλλ’ οὐχὶ τῆς ἐν λόγοις ἡδονῆς, οἵαν δὴ νῦν παρέσχετο Γοργίας. ἀλλ’ ἦ ( B 2 : ἤ B T).

Grg 447a,ter ἀλλ’ ἤ, ἀλλ’ ἄρα. κατόπιν ἑορτῆς.

Grg 447a,quat παροιμία κατόπιν ἑορτῆς ἥκεις ἐπὶ τῶν τινος ὑστερούντων. ἄλλως· ἐπὶ τῶν ἐπί τινι καλῷ πράγματι ἀπολιμπανομένων. ἀναγκάσας.

Grg 447a,quin ἡ ἀνάγκη διττή, ἡ μὲν πρὸς βίαν, ἡ δὲ κατὰ φύσιν. κατὰ ταύτην οὖν ἠναγκάσθη Σωκράτης ἐν ἀγορᾷ διατρίβειν, ὅπως πολλοὺς ὠφελοῖ. τοῦτο γὰρ σπουδαίων ἀνδρῶν ἴδιον, καὶ πρὸ τούτων θεοῦ. οὐδὲν πρᾶγμα.

Grg 447b οὐδὲν ἐργῶδες ἢ δυσχερές. καὶ ἰάσομαι.

Grg 447b,bis παροιμία καὶ τοῦτο, ἀπὸ Τηλέφου καὶ τοῦ τρώσαντος Ἀχιλλέως καὶ τοῦ χρηστηρίου ἀνελόντος ὅτι ὁ τρώσας καὶ ἰάσεται. βούλομαι γὰρ πυθέσθαι.

Grg 447c ἀρχή τις αὕτη τῶν ἐν τῷ διαλόγῳ προκειμένων τοῦ πρώτου μέρους, ὅ ἐστι τὸ περὶ τῆς ποιητικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν. ὅστις ἐστίν.

Grg 447d ταῦτα διελέγοντο εἰς τὸν τοῦ Καλλικλέους εἰσιόντες οἶκον· εἶτα ἔσωθεν αὐτοῦ Γοργίᾳ ἐντυγχάνουσιν. οὐδείς .

Grg 448a .. πω. ἀντὶ τοῦ οὐ πώποτε. Θουκυδίδης “καὶ οὐδείς πω καταγνούς” (III 45). πολλῶν ἐτῶν.

Grg 448a,bis Ἀττικὸν τὸ σχῆμα· δηλοῖ δὲ τὸ ἐπὶ πολὺν χρόνον. Ἡρόδικος.

Grg 448b οὗτος οὐχ ὁ Σηλυμβριανός ἐστιν ὁ Ἡρόδικος, ἀλλ’ ὁ Λεοντῖνος, Γοργίου ἀδελφός. ὁ ἀδελφὸς αὐτοῦ.

Grg 448b,bis οὗτος Πολύγνωτος ἐκαλεῖτο, οὗ ἐν Δελφοῖς ἡ θαυμαστὴ γραφή, ᾗ ἐπιγέγραπτο— γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος υἱός, περθομένην Ἰλίου ἀκρόπολιν (Simonid. fr. 112 Diehl). ὦ Χαιρεφῶν. [5]

Grg 448c φασὶ μὴ ἐξ αὐτοσχεδίου τὸν Πῶλον ταῦτα εἰπεῖν, προσυγγραψάμενον δέ. ἐμπειρία κτλ.

Grg 448c,bis σκόπει τὰ πάρισα τοῦ Πώλου, ἐμπειρία—ἀπειρία, τέχνη—τύχη, ἄλλοι— ἄλλων—ἄλλως. οὐ πάνυ.

Grg 448d οὐ γὰρ τί ἐστιν ἡ ῥητορικὴ εἶπεν, ἀλλ’ ὁποῖόν τί ἐστιν. καλουμένην.

Grg 448d,bis αὕτη γὰρ ἡ παρὰ τοῖς πολλοῖς, ἄλλη δὲ ἡ κατ’ ἀλήθειαν. ὡς ἔφη Ὅμηρος.

Grg 449a τὸ “τοίης τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι” (Z 211, Y 241). περὶ τί τῶν ὄντων.

Grg 449d ἡ ἐρώτησις περὶ τίνα τῶν ὄντων ἡ ῥητορικὴ καταγίνεται ἢ ἔχει τὴν ἐνέργειαν. λέγειν γε ποιεῖ δυνατούς.

Grg 449e ἀντὶ τοῦ διδάσκειν δύναται ἄλλους λέγειν. καὶ ἡ γυμναστική.

Grg 450a ἰατρική ἐστιν ἀπούσης ὑγιείας οἰστική, γυμναστικὴ δὲ παρούσης ὑγιείας φυλακτική. τῶν μὲν ἄλλων κτλ.

Grg 450b [Start of a diagram] τῶν τεχνῶν αἱ μὲν περὶ ἔργα μόνα καταγίνονται ὡς ζωγραφική β′ αἱ δὲ περὶ λόγους μόνους ὡς ἡ διαλεκτική γ′ αἱ δὲ περί τε ἔργα καὶ λόγους καὶ αὗται τριχῶς ἢ μᾶλλον μὲν ἔργῳ χρῶνται ἢ λόγῳ ὡς ἰατρική α′ ἢ μᾶλλον μὲν λόγῳ· ἡ ἀριθμητική δ′ ἢ ἐπίσης καὶ ἔργῳ καὶ λόγῳ, ὡς ἡ πεττευτική ε′ [End of a diagram] χειρούργημα . [5]

Grg 450b,bis .. κύρωσις. χειρούργημα καὶ κύρωσις οὐκ εἴρηται, αἱ δὲ λέξεις Γοργίου ἐγχώριοι· Λεοντῖνος γὰρ ἦν. διὰ λόγων.

Grg 450b,ter ψεύδεται· οὐ γὰρ περὶ λόγους μόνους, ἀλλὰ καὶ περὶ σιωπὴν καὶ περὶ ὑπόκρισιν. κῦρος.

Grg 450e σκόπει ὡς κῦρος εἶπε Πλάτων, οὐ κύρωσιν, καθὰ Γοργίας. οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι.

Grg 451b ἐν ταῖς ἐκκλησίαις ἐπὶ τῶν ψηφισμάτων ἢ νόμων εἰσηγήσει ὁ κῆρυξ ἐπὶ μὲν τοῦ πρώτου ψηφίσματος ἢ νόμου τό τε ὄνομα τοῦ ψηφιζομένου ἢ τιθέντος τὸν νόμον, καὶ δὴ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ δήμου ἔλεγεν, οἷον Δημοσθένης Δημοσθένους Παιανιεὺς ψηφίζεται τάδε· εἰ δ’ ἔμελλεν πάλιν ὁ αὐτὸς ψηφίζεσθαι, ἔλεγεν ὁ κῆρυξ, ἵνα μὴ περιττολογῇ, “τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά, ψηφίζεται δὲ καὶ τάδε.” οὕτως οὖν καὶ ἐπὶ τοῦδε, “τὰ μὲν ἄλλα καθάπερ ἡ ἀριθμητικὴ ἡ λογιστικὴ ἔχει.” καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα. [5]

Grg 451c πρὸς αὑτά, ὡς ὅταν ἄρτιος πρὸς ἄρτιον ἢ περιττὸς πρὸς περιττὸν πολλαπλασιασθῇ· πρὸς ἄλληλα δέ, ὅταν περιττὸς πρὸς ἄρτιον ἢ ἀνάπαλιν. τὰ μέγιστα.

Grg 451d ὥσπερ ὁ Πῶλος οὐ τίς ἐστιν ἡ ῥητορικὴ εἶπεν, ἀλλ’ ὁποία τις, ὅτι καλλίστη τῶν τεχνῶν, οὕτω καὶ Γοργίας οὐ τίνα ἐστὶ περὶ ὧν οἱ λόγοι αὐτῆς λέγει, ἀλλ’ ὁποῖά ἐστιν, ὅτι τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων καὶ ἄριστα. σκολιόν. [5]

Grg 451e ( 1) τὸ σκολιὸν τοῦτο οἱ μὲν Σιμωνίδου (Scolia Anonyma 7 Diehl) φασίν, οἱ δὲ Ἐπιχάρμου (fr. 262 Kaibel). ἔστι δὲ τοιοῦτον· ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνητῷ, δεύτερον δὲ φυὰν καλὸν γενέσθαι, τὸ δὲ τρίτον πλουτεῖν ἀδόλως, τέταρτον δὲ ἡβᾶν μετὰ τῶν φίλων. τοῦτο δὲ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τελευταῖον παραλέλειπται ὡς μὴ πρὸς ὃ βούλεται Πλάτων χρήσιμον ὄν. (2) σκολιὸν λέγεται ἡ παροίνιος ᾠδή, ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀπόνων (l. ἀγώνων), ὅτι τρία γένη ἦν ᾠδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον, 〈τὸ δὲ〉 καθ’ ἕνα ἑξῆς, τὰ δ’ ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε τῇ τάξει· ᾧ δὴ καλεῖσθαι σκολιόν. ὡς δὲ Ἀριστόξενος (I 285, 59) καὶ Φίλλις (l. Φύλλις) ὁ μουσικός, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυρρίνας (ἢ δάφνας add. in marg. t W), ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο διὰ τὴν θέσιν τῶν κλινῶν ἐπὶ οἰκημάτων πολυγωνίων οὐσῶν, καὶ τούτῳ καὶ τὰς ἐπ’ αὐτὰς κατακλίσεις παραβύστους γίνεσθαι. οὐ διὰ τὴν μελοποιίαν οὖν, διὰ δὲ τὴν μυρρίνης σκολιὰν διάδοσιν ταύτῃ καὶ τὰς ᾠδὰς σκολιὰς καλεῖσθαι. ἀδόλως.

Grg 451e,bis πλουτεῖν ἀδόλως ὁ ποιητής φησιν· ὁ γὰρ χρηματιστὴς ὅπως ἂν τύχῃ, καὶ εἰ μετὰ τυραννίδος, πλουτεῖν βούλεται. ἰατρός.

Grg 452a πρῶτόν φησι τὸν ἰατρόν· οὗτος γὰρ περὶ τὰ στοιχεῖα αὐτὰ καθ’ αὑτὰ καταγίνεται, ὁ δὲ παιδοτρίβης περὶ τὴν σύνθεσιν αὐτῶν καὶ τὴν τοιάνδε τῶν μορίων συνθήκην καὶ τὸ κάλλος αὐτῶν. πλούτου.

Grg 452c ἰδοὺ τὸ ἀδόλως οὐ προσέθηκεν, ἐπειδὴ αὐτὸς ὁ χρηματιστὴς λέγει, ὃς πάντων καταφρονεῖ. ἐλευθερίας.

Grg 452d πῶς ἐλευθερίας αἴτιον τὸ ὑποβάλλον δουλείᾳ παντοίων παθῶν. δυνάμει.

Grg 452e δύναμιν τὴν ῥητορικὴν νῦν καλεῖ· προιὼν δὲ οὐδὲ δύναμιν οὖσαν δείξει αὐτήν, ἐπεὶ οὐχ ὁρᾷ πρὸς ἀγαθόν, δυνάμεως δὲ πάσης τὸ πρὸς τοῦτο ὁρᾶν. σοὶ δοκεῖ οὕτως.

Grg 454b ὅτι καὶ ἄλλων τεχνῶν ἐστιν ἡ πειθώ. καλεῖς τι μεμαθηκέναι; ἄρχεται ἐντεῦθεν τὴν πειθὼ διαιρεῖν εἴς τε τὴν πιστευτικὴν καὶ εἰς τὴν διδασκαλικήν.

Grg 454c ἔστι δὲ προσθεῖναι καὶ εἰς τὴν ἀπὸ τῶν κοινῶν ἐννοιῶν, οἷον τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. ἆρ’ ἔστιν κτλ.

Grg 454d [Start of a diagram] ψευδὴς καὶ ἀληθής οὐδ. ἐπιστήμη τις πίστις οὐ π. [End of a diagram] (B 2 T W). οὐδ’ αὐτός πω κτλ.

Grg 455b ἑαυτὸν ὁ Σωκράτης ποιεῖ τῷ Γοργίᾳ συμφυρόμενον, ἵνα εἰς διαλεκτικὴν αὐτὸν συνουσίαν προκαλέσηται. τοῦ διὰ μέσου τείχους.

Grg 455e διὰ μέσου τείχους λέγει, ὃ καὶ ἄχρι νῦν ἐστιν ἐν Ἑλλάδι. ἐν τῇ Μουνυχίᾳ γὰρ ἐποίησεν καὶ τὸ μέσον τεῖχος, τὸ μὲν βάλλον ἐπὶ τὸν Πειραιᾶ, τὸ δὲ ἐπὶ Φάληρα, ἵν’ εἰ τὸ ἓν καταβληθῇ, τὸ ἄλλο ὑπηρετοίη ἄχρι πολλοῦ. Σωκράτης δὲ νεώτερος μὲν Θεμιστοκλέους, σύγχρονος δὲ Περικλέους, ὡς διὰ τούτων δηλοῦται. ἔμβραχυ.

Grg 457b ( 1) ἔμ ν βραχυ· συντόμως καὶ ἁπλῶς. Ὑπερείδης ἐν τῷ κατ’ Ἀριστοφῶντος (fr. 41 Blass) “οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράττειν καὶ γράφειν ὅτι ἂν ἔμ ν βραχυ βούληται”. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (390)— ποῦ δ’ οὐχὶ διαβέβληκεν ὅπουπερ ἔμ ν βραχυ εἰσὶ 〈ν〉 θεαταὶ καὶ τραγῳδικοὶ χοροί; Κρατῖνος Ὥραις (fr. 254 Kock)— ἔδει παρέχειν ὅτι τις εὔξαιτο ἔμ ν βραχυ. (2) σύντομον· ἢ εὐχερῶς εἰπεῖν ἢ ἁπλῶς. οἶμαι, ὦ Γοργία κτλ.

Grg 457c [Start of a diagram] ὅτι συνουσίας τρόπος διττός πρὸς ἀλήθειαν πρὸς τὸ πρᾶγμα Σωκρατικός πρὸς νίκην πρὸς τὸν προσδιαλεγόμενον ῥητορικός [End of a diagram] ὀρθῶς .

Grg 457d .. σαφῶς. ὀρθῶς περὶ τὴν διάνοιαν, σαφῶς περὶ τὴν φράσιν. ἴσως μέντοι.

Grg 458b δέδοικεν ὁ Γοργίας καὶ φεύγει τὴν διάλεξιν, αἰτιᾶται δὲ τοὺς παρόντας πανούργως ὡς οὐκ ἀνεξομένους. χρῆν.

Grg 458b,bis ἔδει. προὐργιαίτερον.

Grg 458c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προτιμότερον. ῥητορικὸν φῄς κτλ.

Grg 458e ἐντεῦθεν ὁ πρῶτος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἐντρεπτικὸς ἔλεγχος. αὐτίκα.

Grg 459c εὐθέως καὶ παραχρῆμα, νῦν δὲ μικρὸν ὕστερον. ἆρα τυγχάνει κτλ.

Grg 459c,bis ὁ δεύτερος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἀποδεικτικὸς ἔλεγχος. ἔχε δή.

Grg 460a ἀντὶ τοῦ μέμνησο. ἐάνπερ ῥητορικόν κτλ.

Grg 460a,bis ὁ τρίτος ἐκ τῶν πραγμάτων ἀποδεικτικὸς ἔλεγχος. οὐδέποτε ἄρα βουλήσεται κτλ.

Grg 460c [Start of a diagram] οὐδέποτε ἀδικεῖ στέρησις πράττει τὰ δίκαια ἐνέργεια βούλεται τὰ δίκαια ἕξις ἐπίσταται τὰ δίκαια ἐπιστήμη ὁ ῥήτωρ ὁ ταῦτα ἔχων [End of a diagram] οὐκ ὀλίγης κτλ.

Grg 461b πεπλήρωται ἕως τούτων τὰ περὶ Γοργίου. ἀναθέσθαι.

Grg 461d τὸ θέσθαι τὸ ἀντικείμενον τῷ ἤδη κειμένῳ. συγγράμματι.

Grg 462b ἐκ τούτου δῆλον ὅτι οὐχ ὁ ἐξ ἀρχῆς τοῦ Πώλου λόγος αὐτοσχέδιος ἦν, ἀλλὰ σύγγραμμα. ἐπιτηδεύσεως.

Grg 462e ἰστέον ὅτι διαφέρει ἐπιτήδευμα καὶ ἐπιτήδευσις· αὕτη μὲν γὰρ ἐνέργειαν δηλοῖ, ἐκεῖνο δὲ οἷον οὐσίαν, ὥς φησι Πλούταρχος. οὕτως οὖν καὶ ἀκοὴ καὶ ἄκουσις, καὶ ψόφος καὶ ψόφησις, τὰ μὲν οἷον οὐσίαν τὰ πρῶτα, τὰ δὲ ἐνέργειαν. δοκεῖ τοίνυν κτλ.

Grg 463a ὅρος κολακείας ἥ ἐστιν ἐπιτήδευμα ἄτεχνον ψυχῆς στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δεινῆς ὁμιλεῖν τοῖς ἀνθρώποις, ἡδονῆς ἀπεργαστικόν. πολιτικήν.

Grg 464b ἡ πολιτικὴ διαιρεῖται ὡς ὅλον εἰς μέρη τὴν νομοθετικὴν καὶ δικαστικήν· αὗται γὰρ ἀλλήλων προσδέονται, τὰ δ’ ἀντιδιαιρούμενα οὔ. καὶ ἐπὶ τῶν λοιπῶν ὁ αὐτὸς τῆς διαιρέσεως τρόπος. δικαιοσύνην.

Grg 464b,bis δικαιοσύνην ἀλλ’ οὐ δικαστικὴν προσεῖπεν, ἵνα μὴ τὸ δικαστικὸν μόνον ἀλλὰ καὶ τὸ διανεμητικόν, μᾶλλον δὲ καὶ αὐτὴν τῆς ψυχῆς εἰς ἑαυτὴν ἐνέργειαν περιλάβῃ τὸ ὄνομα. ἀποθανεῖν.

Grg 464e ἢ ὡς τὸ τῶν ἀνοήτων τοῦτο αὐτοῦ καταψηφισαμένων, ἢ ὡς ἀπελαθέντα ὑπ’ αὐτῶν καὶ τοῦ ἐκ τῆς ἰατρείας μισθοῦ στερόμενον σπάνει τῆς τροφῆς ἀποθανεῖν. ὅτι ὃ κομμωτική κτλ.

Grg 465c [Start of a diagram] σώματος παραδείγματα γυμναστική ἰατρική εἴδωλα κομμωτική ὀψοποιϊκή ψυχῆς παραδείγματα νομοθετική δικαστική εἴδωλα σοφιστική ῥητορική [End of a diagram] ἅτε δ’ ἐγγύς κτλ.

Grg 465c,bis ἐπὶ γὰρ τῶν περὶ σῶμα ἡ διαφορὰ τούτων γνωσθῆναι εὐχερής· ψυχὴ γὰρ τὸ κρῖνον, σωματικὸν δὲ τὸ κρινόμενον· ἐπὶ δὲ τῶν περὶ ψυχήν, ψυχῶν οὐσῶν τῶν συμπεφυρμένων, σοφιστῶν λέγω καὶ ῥητόρων, καὶ ψυχῶν τῶν ταύτας κρινουσῶν διαστρόφων, συμπεφυρμένη καὶ ἡ διάκρισις, οὐ τῶν ἐπιτηδευμάτων (δῆλα γάρ) ἀλλ’ αὐτοί τε οἱ μετιόντες, καὶ ἡ τῶν ἀνδρῶν ἐκείνων μετάληψις διὰ τὴν ἀπάτην, καὶ οἱ κρίνοντες ὑπὸ τῶν κρινομένων ἠπάτηνται. σὺ γὰρ τούτων ἔμπειρος.

Grg 465d τοῦτο εἶπεν ἢ διὰ τὸ ἐκ τῆς Ἀναξαγόρου δόξης εἰς παροιμίαν ἐλθεῖν (ᾔδει δὲ τοῦτο ἐκ Γοργίου, ὁ δὲ ἐξ Ἐμπεδοκλέους τοῦ διδασκάλου αὐτοῦ· οὗτος δὲ φιλόσοφος ὢν τὰς τῶν φιλοσόφων δόξας καὶ ἠπίστατο καὶ ἐδίδασκεν), ἢ διὰ τὴν τῶν ὀνομάτων παρίσωσιν, ὦ φίλε Πῶλε. ὃ μὲν οὖν ἐγώ.

Grg 465d,bis ὁ Πλάτων ἐνταῦθα κατακέχρηται τῷ Ἀττικῷ σχήματι κατακόρως, τῷ καλουμένῳ ἀμερίστῳ. τοῦτο δέ ἐστι τὸ ἔχον τοὺς μὲν πολλοὺς λεγομένους συνδέσμους, μηδαμῶς δὲ τὸν δέ. ὅρα γὰρ πῶς ὃ μὲν οὖν ἐγώ, ἴσως μὲν οὖν, ἄξιον μέν, ἐὰν μὲν οὖν καὶ ἐγώ. ἀντίστροφον κτλ.

Grg 465d,ter

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ λεῖπον τοῦ τῆς ῥητορικῆς ὅρου. ἔστι γὰρ ὅλος· ῥητορική ἐστι κολακεία, πολιτικῆς μορίου εἴδωλον, ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ ὡς ἐκείνη ἐν σώματι. τηλικοῦτος ὤν.

Grg 466a νέος ὤν. τί τάχα δράσεις; πρεσβύτης γενόμενος. ἆρ' οὖν κτλ.

Grg 466a,bis ἐντεῦθεν ὁ περὶ τῆς εἰδικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν λόγος, ὅτι ἡ ἀρετή τέ ἐστι καὶ ἐπιστήμη τῶν ὄντων. δύο ἅμα.

Grg 466c τό τε βούλεσθαι καὶ τὸ δοκεῖν. τοῦτο μὲν γὰρ κατὰ φαντασίαν ἐστὶ τὴν τυχοῦσαν· τὸ δὲ βούλεσθαι πάντως πρὸς τὸ ἀγαθὸν ἀποτείνεται. μὰ τόν.

Grg 466e ἐλλειπῶς ὄμνυσιν πρός τε εὐλαβείας καὶ πραότητος ἔνδειξιν. οὗτος ἀνήρ.

Grg 467b ὁ Πῶλος, ὡς παρὰ πόδας τοῦ Σωκράτους ἐναντία λέγοντος πρὸς ἑαυτόν, καὶ ποιεῖν ἃ δοκεῖ αὐτῷ τὸν ῥήτορα, καὶ μὴ ποιεῖν ἃ βούλεται, ὥσπερ ἐκπεπληγμένος ταύτην ἀφίησι τὴν φωνὴν "οὗτος ἀνήρ", ὡσανεὶ ἔλεγεν "ὁ ἄνθρωπος οὗτος τί πάσχει; οὕτως τῶν ἑαυτοῦ λόγων ἐπιλέλησται;" ἐφ' οἷς ὁ Σωκράτης, ὑποτεμὼν τὸν τοῦ Πώλου λόγον μεταξύ, φησὶν ἐπιμένων τῷ παραδόξῳ τῶν λόγων "οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά με ἔλεγχε", ὡσανεὶ ἔλεγεν "ἐμοὶ μὲν ταῦτα δοκεῖ, καὶ ἐγὼ ταῦτα φημί, τὸ τοὺς ποιοῦντας ἃ δοκεῖ αὐτοῖς δίχα νοῦ μὴ ποιεῖν ἃ βούλονται· εἰ δὲ σοὶ οὕτω μὴ δοκεῖ, μὴ ἀγανάκτει, ἀλλὰ τὸν λόγον ἔλεγχε." κατὰ σέ.

Grg 467c καὶ γὰρ Γοργίᾳ καὶ τοῖς κατ' αὐτὸν αἱ παρισώσεις ἐπετηδεύοντο. χρηματισμόν.

Grg 467d τὸν τῶν χρημάτων πόρον. ἃ ἐνίοτε.

Grg 467e ταῦτα μετέχειν δύναται τῶν ἄκρων, ταῦτα δὲ οὔ. εὐφήμει.

Grg 469a σιώπα, μὴ ἀκαιρολόγει. ἀζηλώτους.

Grg 469a,bis ἀζήλωτός ἐστιν, ὅστις ἔχει τι ὃ μὴ εὐχόμεθα γενέσθαι ἡμῖν, ἄθλιος δὲ ὁ πάθεσιν ἀνηκέστοις ἐνισχόμενος. ὅστις οὖν κτλ.

Grg 469a,ter [Start of a diagram][Start of a diagram section] β′ δικαίως ἀποκτεινύς (ἀποκτιννύς W) ἀζήλωτος [End of a diagram section] [Start of a diagram section] δ′ ἀδίκως ἀποκτεινύς (ἀποκτιννύς W) ἀθλιώτατος ἐλεεινός [End of a diagram section] [Start of a diagram section] α′ ἀδίκως ἀποθνήσκων ἐλεεινὸς ἄθλιος [End of a diagram section] [Start of a diagram section] γ′ δικαίως ἀποθνήσκων ἄθλιος [End of a diagram section][End of a diagram] ἦ που.

Grg 469b ἴσως, σχεδόν. ἧττον.

Grg 469b,bis τὸ ἧττον ἐπὶ τοῦ ἄκοντος ἀποθνήσκοντος ἀδίκως, οὐκ ἐπὶ τοῦ ἐλπίδας ἔχοντος ἐπιδώσειν εἰς ἀρετήν· ἐπὶ δὲ τοῦ σπουδαίου ἀντὶ τοῦ οὐδαμῶς ἀποδεκτέον. τεθνήξει.

Grg 469d ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ τεθνήξεται καινοπρεπῶς παρελήφθη (B 2 T W). σκεψώμεθα.

Grg 470b ἐντεῦθεν ὁ περὶ δικαιοσύνης καὶ ἀδικίας ἐπεισέρχεται λόγος (B 2 T W). ὅρον.

Grg 470b,bis οὐχ ὁρισμὸν λέγει ἀλλὰ τίνα τρόπον (l. περιγραφὴν) καὶ διορισμόν. χαλεπόν.

Grg 470c κατ' εἰρωνείαν τοῦτό φησιν, ὡς δηλοῖ τὸ ἐπαγόμενον. φλυαρίας.

Grg 470c,bis φλυαρία παρὰ Πλάτωνι πανταχοῖ πᾶν τὸ περιττόν, εἴτ' ἐν λόγοις εἴτ' ἐν πράγμασιν. Ἀρχέλαον.

Grg 470d περὶ Ἀρχελάου τοῦ Μακεδόνος ἱστορία (B 2 T W). μέγαν βασιλέα.

Grg 470e τῶν Περσῶν (B 2 T W). παιδείας .

Grg 470e,bis .. δικαιοσύνης. παιδεία ἡ ἐξ ἀρχῆς τροφή· δικαιοσύνη ἡ τελέα (τελευταία W) ἀρετή (B 2 T W). ὄντι ἐκ γυναικός κτλ.

Grg 471a [Start of a diagram][Start of a diagram section] ἀδελφοὶ ἄμφω [End of a diagram section] [Logical Relationship in a Diagram start mark] δούλη Ἀλκέτου [Third Level in a Diagram start

mark][Start of a diagram section] Περδίκκας [End of a diagram section][Logical Relationship in a Diagram end mark] Κλεοπάτρα [Third Level in a Diagram end mark] [Fourth Level in a Diagram start mark][Start of a diagram section] Ἀλκέτης [End of a diagram section] ἰδία γυνή [Fourth Level in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] ἐξ ὧν Ἀρχέλαος [Logical Relationship in a Diagram end mark] [Third Level in a Diagram start mark] ἐξ ὧν παῖς ἀνώνυμος [Third Level in a Diagram end mark] [Fourth Level in a Diagram start mark] ἐξ ὧν Ἀλέξανδρος [Fourth Level in a Diagram end mark][End of a diagram] δεσπότην καὶ θεῖον.

Grg 471b τὸ μὲν δεσπότην ἀνελεῖν παράνομον, τὸ δὲ θεῖον ἀνοσιουργὸν παρίστησι τὸν Ἀρχέλαον, εἴπερ ἐν τάξει οἱ θεῖοι πατέρων. ἀνεψιόν.

Grg 471b,bis τὸν παρ’ ἡμῖν ἐξάδελφον (B 2 T W). ἠφάνισεν.

Grg 471b,ter τῆς ταφῆς ἀφείλετο (B 2 T W). ἀδελφόν.

Grg 471c εἰς τὸ ἀδελφόν στικτέον, ἵνα τὸ γνήσιον πρὸς τὸ Περδίκκου υἱὸν ἐξακούηται. καὶ ἴσως κτλ.

Grg 471c,bis κατ’ εἰρωνείαν καὶ τοῦτό φησιν. ἄλλο τι.

Grg 471d ὁ λόγος οὗτος οὐκ ἔλεγχός ἐστιν, ᾧ με ἔφης πρὶν καὶ παῖς ἂν ἐλέγξειεν, ἀλλὰ πρὸς ἄλλο τι ἐστὶν εἰρημένον. ῥητορικῶς.

Grg 471e οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς τὰς τῶν πολλῶν ἡμαρτημένας δόξας. τρίποδες.

Grg 472a τῶν λαμπρῶν ἀναθημάτων καὶ τῶν πλουσίων καὶ ἐν δυνάμει μνημονεύει, ὅτι τούτοις μάλιστα οἱ δικασταὶ πιστεύουσιν. Διονύσιον δὲ τὸ τοῦ Διονύσου φησὶν ἱερόν. οὐ γὰρ .

Grg 472b .. ἀναγκάζεις. ταῖς ἀποδεικτικαῖς πίστεσιν οὐ πείθεις. οὐσίας.

Grg 472b,bis οἱ ἐν τοῖς δικαστηρίοις τὰ χρήματα οὐσίαν φασίν· διὰ τοῦτο οὖν ὡς πρὸς ῥήτορα διαλεγόμενος οὕτως εἶπεν. ὅμως προσέθηκε καὶ τὴν προσήκουσαν αὐτῷ οὐσίαν, φημὶ δὴ τἀληθές. ὁμολογοῦντα.

Grg 472b,ter οὐ μόνον πρὸς τὸν ἔλεγχον, ἀλλὰ πολὺ πρότερον αὐτὸν πρὸς ἑαυτόν. ὑπὸ θεῶν.

Grg 472e εἰ ὑπὸ θεῶν, ἀγαθὴ ἡ δίκη· τὰ γὰρ ἐκ τούτων τοιαῦτα. φίλον.

Grg 473a οὐχ ὡς ὁμόφρονα ἀλλ’ ὡς εὐνοϊκῶς πρὸς πάντα ἄνθρωπον ἔχων. χαλεπώτερον.

Grg 473b καὶ τοῦτο κατ’ εἰρωνείαν φησὶν ἢ κατ’ ἀντίφρασιν. ἀδύνατον.

Grg 473b,bis ὁ Σωκράτης τῷ παρ’ ὑπόνοιαν λεγομένῳ χρῆται, εἰπὼν οὐ χαλεπὸν ἀλλ’ ἀδύνατον. μορμολύττῃ.

Grg 473d φοβεῖς. παρῆκται δὲ τὸ ῥῆμα ἀπὸ τῶν προσωπείων τῶν ἐν ταῖς τραγῳδίαις ὑποκριτῶν, ἃ ἐκάλουν μορμολυκεῖα. Δωριεῖς δὲ γόργια. τοιούτοις δὲ καὶ αἱ γυναῖκες τὰ παιδία φοβοῦσιν. ἄλλο αὖ τοῦτο κτλ.

Grg 473e τοῦτο παράγγελμα Γοργίου, τὸ τὰς σπουδὰς τῶν ἀντιδίκων γέλωτι ἐκλύειν, τὰ δὲ γελοῖα ταῖς σπουδαῖς ἐκκρούειν. βουλεύειν λαχών.

Grg 473e,bis κληρωτοὶ γὰρ ἦσαν οἱ βουλευταί, ἀφ’ ἑκάστης τῶν δέκα φυλῶν εἷς (l. πεντήκοντα) πρὸς ἕνα ἐνιαυτόν, καθ’ ὃ καὶ ἐλέγετο πρυτανεύειν ἡ φυλή. ἐπιψηφίζειν.

Grg 473e,ter ἐπιψηφίζειν ἐστὶ τό τινος πρυτανευούσης φυλῆς ἕνα κληρούμενον ἀπ’ αὐτῆς τὰς ψήφους ἑκάστων ἀπαριθμεῖσθαι τῶν τε τιθεμένων δεῖν γενέσθαι περὶ οὗ ἡ σκέψις καὶ τῶν ἀπαγορευόντων, καὶ ἔτι τὰς τῶν ἀμφιβάλλειν λεγόντων, ἀποφαίνειν τε εἰς τὸ κοινὸν τίνες τούτων αἱ ψῆφοι, πλείους ἢ ἐλάττους ἢ μεταξύ, ἐξ ὧν τὸ πρακτέον ἢ μὴ διεκρίνετο. καὶ ὁ τοῦτο ποιῶν, οὗτος ἦν ὁ ἐπιψηφίζειν λεγόμενος. ἐπιψηφίζειν τοὺς παρόντας. [5]

Grg 474a

ἀντὶ τοῦ ταῖς ψήφοις τῶν παρόντων κρίνειν τὴν ἀλήθειαν (B 2 T W). καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους.

Grg 474b κατὰ τὰς κοινὰς καὶ ἀληθεῖς ἐννοίας δηλονότι. λέγε δή μοι κτλ.

Grg 474c τῶν δύο προβλημάτων τοῦ πρώτου ἐντεῦθεν ἡ κατασκευὴ ὅτι κρεῖττον τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν. ἐπιτηδεύματα.

Grg 474e ἐπιτηδεύματά ἐστι τὰ διὰ μόνων τῶν ἐθῶν μελετώμενα. μαθημάτων.

Grg 475a μαθήματά ἐστι τὰ κατὰ τὰς τέχνας καὶ ἐπιστήμας διὰ διδασκαλίας τοῖς ἀνθρώποις παραγιγνόμενα. μετὰ τοῦτο δέ.

Grg 476a τοῦ δευτέρου προβλήματος κατασκευή, ὅτι τῶν ἀδικούντων κρείττων ὁ δίκην διδοὺς ἢ ὁ μή. εἴ τίς τι ποιεῖ.

Grg 476b ἐκ τούτου δῆλον ὅτι τὸ νοεῖν καὶ βαδίζειν οὐ ποιεῖν ἐστιν ἀλλ' ἐνεργεῖν μόνον· οὐ γὰρ πρός τι πάσχον γίνονται. κολαζόμενος.

Grg 476e κολάζεσθαί ἐστι κυρίως τὸ τῆς πονηρίας κολούεσθαι, ὅ ἐστιν ἐλαττοῦσθαι ἢ ἐμποδίζεσθαι. ἆρα οὖν τοῦ μεγίστου κτλ.

Grg 477a ἐντεῦθεν ἀποδείκνυται οἵου μεγίστου κακοῦ ἀπαλλάττεται ὁ δίκας διδούς. ὧδε δὲ σκόπει κτλ.

Grg 477a,bis [Start of a diagram] τὰ περὶ τὸν ἄνθρωπον ψυχή σῶμα τὰ ἐκτός πονηρίαι ἀδικία νόσος πενία ἀρεταί δικαιοσύνη ὑγίεια πλοῦτος [End of a diagram] (B 2 T W) δεύτερος.

Grg 478e δεύτερος οὐ πρὸς εὐδαιμονίαν, ἀλλὰ κατὰ τὸ τετάχθαι μέσος τῶν τριῶν. ἆρ' αἰσθάνῃ τὰ συμβαίνοντα.

Grg 479c σημείωσαι ὅτι ὁ Ἀριστοτέλης τοῦ συλλογισμοῦ τὸν ὅρον ἐντεῦθεν εἴληφεν σχεδὸν αὐταῖς λέξεσιν. ἔξοντα.

Grg 480a προσυπακουστέον τὸ πρὸς κακοδαιμονίαν. ὅπου ὡς τάχιστα κτλ.

Grg 480a,bis τάχιστα δώσει δίκην παρὰ τὸν δικαστὴν δηλαδὴ τὸν οἰκεῖον λογισμόν, βασανίζοντα αὐτοῦ τὰς φαντασίας καὶ κολάζοντα τὰς παραλόγους ἐννοίας. οὐκ εἰσάγειν οὖν εἰς δικαστήριον, ἀλλὰ νουθεσίαν καὶ ἐπίπληξιν ἐφ' ἑαυτὸν καὶ τοὺς οἰκείους ἄγειν παρακελεύεται. ἐὰν μόνον μὴ αὐτός.

Grg 480e φησὶν ὅτι εἰ δέ ἐστί τις ἐχθρός σου, μὴ ἀδικῇ δὲ σὲ ἀλλὰ ἄλλον τινά, μὴ θελήσῃς αὐτὸν δοῦναι δίκην, ἀλλὰ καὶ βοήθησον αὐτῷ, εἰ δύνασαι, ἵνα ἔτι πλέον τιμωρηθῇ. οἷον.

Grg 481b ἀντὶ τοῦ θαυμαστόν. νεανιεύεσθαι.

Grg 482c μέγα φρονεῖν, κομπάζειν. φορτικὰ καὶ δημηγορικά.

Grg 482e φορτικά ἐστι τὰ βάρος ἐμποιοῦντα, δημηγορικὰ τὰ πρὸς τὴν τῶν πολλῶν βλέποντα δόξαν. τὸ σοφόν.

Grg 483a ἀντὶ τοῦ τὸ σόφισμα. ἐδιώκαθες.

Grg 483a,bis ἐδίωκες. προπηλακιζόμενος.

Grg 483b ὑβριζόμενος, ἐξουθενούμενος. μείζω.

Grg 484c μείζω φησὶν ὁ Καλλικλῆς τὴν κατ' αὐτὸν ῥητορικήν, ἴσως δὲ καὶ τὴν τυραννίδα, ὡς ὕστερον δηλώσει. πάντων ἄπειρον κτλ.

Grg 484c,bis ἀπαρίθμησις ὧν οἴεται ψευδῶς Καλλικλῆς ἄπειρον εἶναι τὸν φιλόσοφον. συμβολαίοις.

Grg 484d συμβόλαια παρὰ τοῖς Ἀττικοῖς αἱ ἀσφάλειαι καὶ συγγραφαὶ καὶ συνθῆκαι πόλεων, καθ' ἃς τὸ δίκαιον ἀλλήλοις ἔνεμον. ἠθῶν.

Grg 484d,bis ἤθη τὰ ἐν ἔθει κείμενά φησιν. λαμπρός τε κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Grg 484e τὰ ἰαμβία ταῦτά ἐστιν ἐξ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου (T G F fr. 183), ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν ἀδελφὸν Ἀμφίον〈α〉. οὗτοι δ' Ἀντιόπης υἱοί. παιδείας.

Grg 485a παιδείαν φησὶ τὴν περὶ τὰ μαθήματα ἐν παισὶ τροφήν τε καὶ ἀγωγήν. πικρόν τι.

Grg 485b ὡς παρὰ φύσιν καὶ βίαιον ὄν. καταγέλαστον κτλ.

Grg 485c καταγέλαστον, ὅταν ψελλίζηται· πληγῶν ἄξιον, ὅταν παίζῃ. ἄνανδρα δ' ἄμφω, οὐκ ὡς γυναιξὶν ἀλλ' ὡς παιδίοις πρέποντα. ἐπιεικῶς.

Grg 485e τὸ ἐπιεικῶς· ἀντὶ τοῦ μετρίως ὅ ἐστιν ἴσον τῷ πάνυ. ὅτι ἀμελεῖς.

Grg 485e,bis καὶ ταῦτα τὰ ἰαμβία τοῦ Εὐριπίδου ἐκ τοῦ αὐτοῦ Ἀντιόπης δράματος (T G F fr. 185) εἴληφεν. σκόπει δὲ ὅπως δεῖ χρῆσθαι ταῖς μακροτέραις ῥήσεσι τῶν ποιητῶν, μὴ αὐτοὺς διόλου τιθέναι τοὺς στίχους, ἀλλά τι καὶ λέξεως πεζοτέρας εὖ πως αὐτοῖς ἀναμῖξαι. ὁ τῶν στίχων δὲ νοῦς οὗτος· ὁ Ζῆθός φησι τῷ Ἀμφίονι μουσικῷ ὄντι “ῥῖψον τὴν λύραν, κέχρησο δὲ ὅπλοις.” οὕτω οὖν καὶ Καλλικλῆς λέγει Σωκράτει “ἄφες φιλοσοφίαν, ἐλθὲ δὲ ἐπὶ τὴν πόλιν καὶ δίκαζε.” ἀγροικότερον.

Grg 486c ἀντὶ τοῦ σκληρότερον. παῦσαι δὲ ἐλέγχων.

Grg 486c,bis ἐν ἄλλῳ πρόσκειται, παῦσαι ματαιάζων. βίος καὶ δόξα.

Grg 486d βίος ὁ πλοῦτος, δόξα δὲ ἡ παρὰ τοῖς πολλοῖς εὐδοκίμησις. τούτων τινὰ τῶν λίθων.

Grg 486d,bis ἰστέον ὅτι τὴν λίθον ταύτην, οἱ μὲν ἰδίως βάσανον, οἱ δὲ Λυδίαν καλοῦσιν. ἑρμαίῳ.

Grg 486e ἕρμαιον τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. τρία.

Grg 487a ὅτι τρία ἐστὶν οἷς κρίνεται ψυχή, ἐπιστήμη, δόξα ὡς φρονίμου τε καὶ εὔνου, παρρησία. πάντα ἔχεις.

Grg 487b προσυπακουστέον, ὡς σύ τε οἴει καὶ ὁ πολὺς τῶν ἀνοήτων συρφετός. Ἀφιδναῖον.

Grg 487c Ἀφίδνα δῆμος Αἰαντίδος φυλῆς, ἐξ οὗ οὗτος. Χολαργέα.

Grg 487c,bis Χολαργεὺς δῆμος Ἀκαμαντίδος φυλῆς, ἐξ οὗ οὗτος. σοφίας ἐνδείᾳ κτλ.

Grg 487e [Start of a diagram] σοφίας ἔνδεια αἰσχύνης παρουσία ἀπάτη ἐπιστήμη παρρησία δόξα ὡς φρονίμου καὶ εὔνου [End of a diagram] ποῖόν τινα κτλ.

Grg 487e,bis τὸ μὲν ποῖον τὴν εἰδικὴν σημαίνει ἀρχήν, τουτέστι δίκαιον ἢ ἄδικον, τὸ δὲ τί ἐπιτηδεύειν τὴν ποιητικήν, ἀντὶ τοῦ δημαγωγίαν τε καὶ ῥητορικὴν ἢ φιλοσοφίαν· τὸ δὲ καὶ μέχρι τοῦ, ὅσον παιδείας χάριν ἢ περαιτέρω μέχρι τοῦ ἀκριβοῦς. οὐχ ἑκών.

Grg 488a ἰδοὺ ἀκούσια τὰ ἁμαρτήματά φησιν· ἀκούσιον γὰρ τὸ ψεῦδος· παραλογιζόμεθα δὲ αὐτοὺς κατὰ τὴν καθόλου πρότασιν. ἱκανῶς.

Grg 488a,bis ἱκανῶς ἐνταῦθα τὸ μετ' ἀποδείξεως λέγεται. βλᾶκα.

Grg 488a,ter βλὰξ ὁ χαῦνος τῇ προαιρέσει. εἴρηται δὲ ἢ ἀπὸ τοῦ βεβλάφθαι τὰς φρένας, ἢ ἀπὸ τοῦ μαλακοῦ, οἷον μάλαξ τις ὤν· ἐπειδὴ δὲ τὸ μ τῷ λ ἀσύμπλοκον, ἀντὶ τοῦ μλὰξ γέγονε βλάξ. [Start of a diagram] ὡς τὸ κρεῖττον.

Grg 488c κατ' ἀρετὴν μᾶλλον βέλτιον ἄμεινον κατὰ τὴν τοῦ σώματος ῥώμην μᾶλλον ἰσχυρότερον κρεῖττον [End of a diagram] (B 2 T W.) ἔστι ταῦτα ἢ οὔ; σκόπει ἐκ τούτων τὸν πρὸς τὰς ἀποκρίσεις τοῦ Καλλικλέους ὄκνον, τοῦ ἔστι ταῦτα ἢ οὔ; καὶ τοῦ νομίζουσιν ἢ οὔ; καὶ τοῦ μὴ φθόνει μοι ἀποκρίνασθαι.

Grg 489b κινδυνεύεις. τουτέστι φαίνει, ὅπερ ἀμφιβάλλων ὥσπερ εἴρηκε, τὸ βαρὺ τῶν ἐλέγχων παραμυθούμενος. οὑτοσὶ ἀνήρ.

Grg 489b,bis ὅρα τὴν πρὸς ἑτέρους τοῦ λόγου ἀποστροφήν, ὅσην τοῦ Καλλικλέους καὶ κατὰ τὸ σχῆμα θρασύτητα δείκνυσιν. συρφετός.

Grg 489c ἀγυρτώδης ὄχλος, ὡς νῦν, ἢ λόγος, ἢ ἐξ ἀνέμου συλλεγομένη κόπρος καὶ φρυγανώδης. τοπάζω.

Grg 489d ὑπονοῶ, εἰκάζω. προδίδασκε.

Grg 489d,bis περιττεύει ἡ πρόθεσις Ἀττικῶς. εἰρωνεύῃ.

Grg 489e εἰρωνεία ἐστὶ προσποίησις ἀδυναμίας ὧν τις δύναται ποιεῖν· ἐξ ἧς καὶ τὸ εἰρωνεύω ῥῆμα. ταύτῃ δὲ τὴν ἀλαζονίαν ἐναντίαν εἶναι· ἔστι γὰρ ἀλαζονία προσποίησις δυνάμεως ὧν τις οὐ δύναται ποιεῖν. μὰ τὸν Ζῆθον.

Grg 489e,bis ὄμνυσι κατὰ τοῦ Ζήθου ὥς τινος τῶν ἡρώων ὄντος, ἢ ὡς χαριζόμενος Καλλικλεῖ, ἐπειδὴ τῇ τοῦδε ῥήσει πρὸ μικροῦ εἰς παραίνεσιν ἐχρήσατο. δοκεῖς βούλεσθαι λέγειν.

Grg 490a ὡς οὐδὲ φράσαι δυναμένου τοῦ Καλλικλέους, ἅπερ ἐθέλει, Σωκράτης καθάπτεται. ἔχε δὴ αὐτοῦ.

Grg 490b ἀντὶ τοῦ μέμνησο τῶν ῥηθέντων. ἁθρόοι.

Grg 490b,bis ἀντὶ τοῦ ὁμοῦ. οὐ γὰρ εἴ τι πολύ, τοῦτο καὶ ὁμοῦ. διὰ τοῦτο οὖν πολλοὶ ἀθρόοι φησίν. περὶ τῶν αὐτῶν.

Grg 490e οἰκειότερον γὰρ ἐπιστήμης τὸ ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγειν ἢ τὸ ἕτερα. τί ἢ τί; ( sic codd.

Grg 491d : τί; ἦ τι scripsit Burnet). ὁ Καλλικλῆς συνεὶς τούτων οὐδέν, ὑπολαβὼν δὲ διαίρεσίν τινα περιέχειν τὴν ἐρώτησιν τοῦ Σωκράτους, ἀξιοῖ σαφῶς αὐτὸ εἰπεῖν, τί ποτ' ἐστιν ἑκάτερον ὧν ἀντιδιαιρεῖν βούλεται. διόπερ φησὶ τί ἢ τί. ἡδὺς εἶ.

Grg 491e κατ' εἰρωνείαν τοῦτό φησι Καλλικλῆς. οὐδεὶς ὅστις οὐκ ἂν γνοίη.

Grg 491e,bis ἀντὶ τοῦ οὐδείς ἐστιν ὃς οὐκ ἄν μοι μαρτυρήσειεν ὅτι λέγων τοὺς σώφρονας οὐ λέγω τοὺς ἠλιθίους· τουτέστιν οὐδείς ἐστιν ἀνθρώπων ὃς τοὺς σώφρονας ἠλιθίους λέγει. πρὸς ὃν ὁ Καλλικλῆς τοὐναντίον φησίν, ὅτι πάνυ πολλοὶ οἱ τοὺς σώφρονας λέγοντες ἠλιθίους. ἐπεὶ πῶς ἄν. [5]

Grg 491e,ter ἐντεῦθεν ὁ περὶ τῆς τελικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν λόγος. ἔστι δὲ κατὰ Σωκράτη τἀγαθόν, κατὰ δὲ Καλλικλέα αἰσχρὰ ἡδονή. ἐπικουρίαν.

Grg 492c ἢ τὴν ἐκ πλούτου καὶ περιουσίας, ἢ τὴν ἐκ τῆς παρὰ τῷ Καλλικλεῖ καλουμένης φρονήσεώς τε καὶ ἀνδρείας. οὐκ ἀγεννῶς.

Grg 492d ἀντὶ τοῦ ἀτενῶς καὶ ἀκάμπτως. ἐπεξέρχῃ τῷ λόγῳ παρρησιαζόμενος.

Grg 492d,bis ἀντὶ τοῦ ὁμολογεῖς ἀπαρακαλύπτως. οὐκ ἄρα ὀρθῶς κτλ.

Grg 492e ἀπόδειξις δι' ἐπιχειρημάτων ἕξ, τριῶν μὲν ἐνδόξων, τριῶν δὲ πραγματειωδεστέρων· ὧν τῶν ἐνδόξων τὸ πρῶτον ἐκ τῆς τῶν πολλῶν δόξης εἴληπται. ἐπιχειρήματα α' ἐκ τῆς τῶν πολλῶν δόξης β' ἐκ τῆς τῶν ποιητῶν γ' ἐκ τῶν Πυθαγορίων ἐν τοῖσδε. [5]

Grg 492e,bis τὰ ἰαμβία ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου (T G F fr. 833)— τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται; τῷ ὄντι ἴσως.

Grg 492e,ter τὸ ἴσως περὶ τοῦ ἀληθῆ εἶναι τὸν ἐν τῷ μύθῳ λόγον ἢ μή· τὸ δὲ τῷ ὄντι, ὅτι ὅ γε μῦθος αὐτὸ τοῦτο τῷ ὄντι καὶ διατεταμένως διισχυρίζεται, τὸ θάνατον εἶναι τῆς ψυχῆς τὴν μετὰ τοῦ σώματος ζωήν. κομψός.

Grg 493a οὐ τὸν πιθανὸν ἀλλὰ τὸν τεχνικὸν ἢ σπουδαῖόν φησι. Σικελικὸς δ' ἢ Ἰταλικός, οἷον Ἐμπεδοκλῆς. Πυθαγόρειος δ' οὗτος ἦν, ὑπῆρχεν δὲ καὶ Ἀκραγαντῖνος. Ἀκράγας δὲ καὶ πόλις

Σικελίας, ἀπὸ τοῦ πλησίον ποταμοῦ κεκλημένη, ἀφ’ ἧς οὗτός τε καὶ Ὀλύμπιος ὁ μελοποιός. Σικελός τις ἢ Ἰταλικός.

Grg 493a,bis ἐπειδὴ πλησίον Σικελίας ὅ τε Κρότων καὶ τὸ Μεταπόντιον, αἱ πόλεις οὗ οἱ Πυθαγόριοι διέτριβον, αἳ τῆς Ἰταλίας εἰσίν. παράγων κτλ.

Grg 493a,ter [Start of a diagram][Start of a diagram section] ἡμεῖς οἱ τεθνεῶτες οἱ ἐν σώματι ζῶντες [End of a diagram section] [Start of a diagram section] σῶμα σῆμα ἤτοι τάφος [End of a diagram section] [Start of a diagram section] τῆς ψυχῆς τὸ ἐπιθυμητικόν πίθος [End of a diagram section] [Start of a diagram section] ἀνόητοι ἀμύητοι [End of a diagram section] [Start of a diagram section] ψυχῆς ἐπιθυμητικὸν ἀκόλαστον πίθος τετρημένος [End of a diagram section] [Start of a diagram section] ᾅδης ἀειδές [End of a diagram section] [Start of a diagram section] ὕδωρ ῥευστὸν καὶ ἄστατον τῶν ἡδονῶν [End of a diagram section] [Start of a diagram section] κόσκινον τετρημένον ψυχὴ ἀνόητος οὐ δυναμένη στέγειν δι’ ἀπιστίαν. [End of a diagram section][End of a diagram] ἐκ τοῦ αὐτοῦ γυμνασίου.

Grg 493d ἐκ τοῦ αὐτοῦ γυμνασίου, φησὶ, ὅτι τὸ μὲν πρὸ αὐτοῦ ἐπιχείρημα ἐν μύθου προῆκται σχήματι, τοῦτο δὲ ἐν παραδείγματος. ἦν δὲ ἐκεῖνο μὲν τῶν Πυθαγορίων οἰκεῖον, τοῦτο δὲ Σωκράτους, ὡς σαφέστερόν τε καὶ πληκτικώτερον. σκόπει γάρ.

Grg 493d,bis ἐντεῦθεν αἱ πραγματειωδέστεραι, ὧν τὸ πρῶτον ἐπιχείρημα ἀπό τινος εἰκόνος ἄρχεται. [Start of a diagram] σώφρων πίθοι ὑγιεῖς πλήρεις νάματα οἴνου μέλιτος γάλακτος οὐκ ἐποχετεύων, ἡσυχίαν ἔχων.

Grg 493d,bis,c2 ἀκόλαστος πίθοι τετρημένοι μὴ πληρούμενοι νάματα οἴνου μέλιτος γάλακτος ἀεὶ ἀναγκαζόμενος πιμπλάναι. [End of a diagram] οἴνου .

Grg 493e .. μέλιτος ... γάλακτος. οἶνον μὲν ὡς τροφιμώτατον, γάλα δὲ ὡς πρώτην τροφήν, μέλι δὲ ὡς τὴν ἐν τῇ τροφῇ γλυκυθυμίαν παρείληφεν. πληρωσάμενος.

Grg 493e,bis οὐκ ἐμπλησθεὶς ἀλλὰ προσδεὴς ὤν. χαραδριοῦ.

Grg 494b ( 1) χαραδριὸς ὄρνις τις ὃς ἅμα τῷ ἐσθίειν ἐκκρίνει. (2) εἰς ὃν ἀποβλέψαντες, ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται· ὅθεν καὶ ἐγκρύπτουσιν αὐτὸν οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες. καί μιν καλύπτει· μῶν χαραδριὸν περνάς; ὥς φησιν Ἱππῶναξ (fr. 48 Diehl). λέγεις οἷον κτλ.

Grg 494b,bis τοῦτο ἐκ τοῦ ἀπεμφαίνοντος πρόεισιν. μὴ ἀπαισχυνῇ.

Grg 494c ἀντὶ τοῦ μὴ αἰσχυνθείης. κνησιῶντα.

Grg 494c,bis ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι. ἀνδρεῖος.

Grg 494d κατ’ εὐφημίαν, ἀντὶ τοῦ ἀναιδής. κιναίδων.

Grg 494e ἀσελγῶν, μαλακῶν. καὶ κιναίδα ( l. κιναιδία) ἡ πόρνη καὶ ἡ (l. πορνικὴ) ἀσχημοσύνη ἀπὸ τοῦ ὀρνέου τῆς ἴυγγος, ὃ καὶ κιναίδιον καλεῖται. ἵνα δή μοι κτλ.

Grg 495a τοῦτο φησίν, ὅτι ἐγὼ μὲν ἕτερον εἶναι τὸ ἀγαθὸν τοῦ ἡδέος διανοοῦμαι· ἀλλ’ ἵνα μὴ ἀσύμφωνος ὦ ἑαυτῷ, ταῦτ’ εἶναί φημι τὰ αὐτά. τοὺς πρώτους λόγους.

Grg 495a,bis τοὺς ἑαυτοῦ δηλονότι, ἐν οἷς ἐμέμφετο Γοργίαν καὶ Πῶλον ὡς παρὰ τὰ δοκοῦντα αὑτοῖς δι’ αἰσχύνην ἀποκριναμένους, αὐτὸς δ’ ἐπηγγέλλετο παρρησιαζόμενος ἐρεῖν πᾶσαν τὴν ἀλήθειαν. αἰνιχθέντα.

Grg 495b τῷ γὰρ τοῦ κιναίδων βίου ὀνόματι κακὰ πολλὰ συνεσημαίνετο. ὦ σοφώτατε σύ.

Grg 495d κατ’ εἰρωνείαν ὑπὸ Καλλικλέους εἴρηται, ὥς φησι Πλούταρχος. Ἀχαρνεύς.

Grg 495d,bis Ἀχάρναι δῆμος Οἰνηΐδος, ἐξ οὗ οὗτος. Σωκράτης.

Grg 495d,ter τοῦτό φησι Καλλικλῆς καθ’ ὁμοιότητα Σωκράτους. Ἀλωπεκῆθεν.

Grg 495d,quat Ἀλωπεκὴ δῆμος Ἀντιοχίδος, ἐξ οὗ Σωκράτης. ἐναντία.

Grg 495e τὸ ἀγαθὸν καὶ κακὸν εἰπεῖν βουληθεὶς τὰ μετέχοντα λέγει. εἰπέ.

Grg 495e,bis τοῦ τρίτου ἐπιχειρήματος ὃ ἐπ’ εὐθείας, ἐκ τοῦ τὰ ἐναντία μήτε ἅμα συνεῖναι μήτε ἅμα ἀπαλλάττεσθαι. [Start of a diagram] εὐδαιμόνως βιοῦσιν ἥδονται κνῶνται οἱ ψωριῶντες [End of a diagram] εἰπὲ γάρ μοι κτλ.

Grg 495e,quat [Start of a diagram] ἅμα παραγίνεται καὶ ἀπογίνεται ἅμα ἐναντία οὐδ. π. ἀγαθὸν καὶ κακόν π. ἡδονὴ καὶ λύπη [End of a diagram] αἰσθάνῃ οὖν τὸ συμβαῖνον.

Grg 496e εἰ προηγεῖται μὲν ἐν τῷ διψῆν λύπη, ἐν δὲ τῷ πίνειν ἐπιγίγνεται ἡδονὴ καὶ συνυπάρχει αὐτῇ, ἅμα μὲν οὐ παραγίγνεται τἀναντία, καθὼς ἐν τῷ Φαίδωνι τῇ λύπῃ φησὶ τὴν ἡδονήν, ἅμα δὲ σύνεστι, καθὼς ἐνταῦθα λέγει. καὶ οὐ μάχεται ἑαυτῷ, εἴπερ ἄλλο μὲν τὸ ἅμα παραγίνεσθαι, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἐναντίων εὑρεῖν, ἄλλο δὲ τὸ συνεῖναι, ὅ ἐστιν ἐπ’ αὐτῷ ἐγχωροῦν. ἀκκίζῃ.

Grg 497a τὸ ἀκκίζεσθαι ἐκ γυναικὸς εἰρῆσθαί φασιν Ἀκκοῦς καλουμένης, ἣν οὕτως εὐήθη λέγουσιν ὡς ἀπὸ τοῦ ἱστοῦ θοἰμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἴς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ’ αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί. μέμνηται ταύτης Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς (fr. 7 Kock) καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῇ δράματι (fr. 236 Kock). ἀκκίζει οὖν φησὶν ἀντὶ τοῦ ἀνοηταίνεις οἷα γυνή, μὴ εἰδέναι προσποιούμενος. ὅτι ἔχων ληρεῖς.

Grg 497a,bis ἀντὶ τοῦ ὑποκρίνῃ ἄνοιαν. σοφός.

Grg 497a,ter ἀνόητος, κατ’ εὐφημίαν. τὰ σμικρά τε καὶ στενά.

Grg 497c οὕτως ἀπέσκωπτον οἱ σοφιστικοὶ ῥήτορες τοὺς διαλεκτικοὺς λόγους· καὶ Ἱππίας γοῦν περιτμήματα αὐτοὺς ἐκάλεσεν (Hipp. ma. 304 a). τὰ μεγάλα .

Grg 497c,bis .. τὰ σμικρά. (1) δηλονότι μυστήρια. (2) διττὰ ἦν τὰ μυστήρια παρ’ Ἀθηναίοις, καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐν ἄστει ἐτέλουν, τὰ δὲ μεγάλα, ἅπερ Ἐλευσῖνι ἤγετο. καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα· ἄλλως δὲ τῶν μεγάλων μετασχεῖν οὐκ ἦν θεμιτόν. ἐτελεῖτο δὲ ταῦτα Δηοῖ καὶ Κόρῃ, ὅτι ταύτην μὲν Πλούτων ἁρπάξειεν, Δηοῖ δὲ μιγείη Ζεύς· ἐν οἷς πολλὰ μὲν ἐπράττετο αἰσχρά, ἐλέγετο δὲ πρὸς τῶν μυουμένων ταῦτα· “Ἐκ τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον, ἐκερνοφόρησα. ὑπὸ τὸν παστὸν ὑπερεδύοντο (l. ὑπέδυν)” καὶ τὰ ἑξῆς. (3) κέρνον· τὸ λίκνον, ὅ ἐστι τὸ πτύον. χαίροντα.

Grg 497e ἀντὶ τοῦ ἡδόμενον ληπτέον. πότεροι δὲ κτλ.

Grg 498a,1 [Start of a diagram] ἅμα παύεται π. ἡδονὴ καὶ λύπη δ. οὐ ἀγαθὸν καὶ κακόν οὐ ταὐτὰ ἄρα τοῦ τρίτου ἐπιχειρήματος ὁ δι’ ἀδυνάτου. [End of a diagram] [Start of a diagram][Start of a diagram section][Logical Relationship in a Diagram start mark] ὁμοίως ἀγαθός ἐστιν ὁμοίως πρὸς τῷ ἀγαθῷ ἐστιν ὁμοίως πρὸς τῇ ἡδονῇ ἐστιν ὁμοίως ἡδόμενοί εἰσιν ὁ ἀνδρεῖος ἀγαθὸς ὢν καὶ ὁ δειλὸς κακὸς ὢν π.

Grg 498a,2 π. π. π. π. [Logical Relationship in a Diagram end mark] ἢ ὁ φρόνιμος ἀγαθὸς ὢν ὁ δὲ ἄφρων κακὸς ὢν [End of a diagram section] [Start of a diagram section][Logical Relationship in a Diagram start mark] μᾶλλον ἀγαθός ἐστιν μᾶλλον πρὸς τῷ ἀγαθῷ ἐστιν μᾶλλον πρὸς τῇ ἡδονῇ ἐστιν μᾶλλον ἡδόμενός ἐστιν ὁ δειλὸς κακὸς ὢν τοῦ ἀνδρείου ἀγαθοῦ ὄντος π. π. π. π. π. [Logical Relationship in a Diagram end mark] ἢ ὁ δειλὸς κακὸς ὢν τοῦ ἀνδρείου ἀγαθοῦ ὄντος ἀπιόντων τῶν πολεμίων [End of a diagram section][End of a diagram] καὶ δὶς γὰρ κτλ.

Grg 498e

παροιμία δὶς καὶ τρὶς τὸ καλόν, ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν. Ἐμπεδοκλέους τὸ ἔπος ἀφ’ οὗ καὶ ἡ παροιμία· φησὶ γὰρ (fr. 25 Diels)— καὶ δὶς γάρ, ὃ δεῖ, καλόν ἐστιν ἐνισπεῖν. οὐκοῦν ὁμοίως.

Grg 499a ὑπερθετέον τὴν λέξιν οὕτως· “οὐκοῦν ὁ κακὸς ὁμοίως” εἶτα τὰ ἑξῆς. παλαιὸν λόγον.

Grg 499c παροιμία. τὸν παροιμιώδη φησί. βούλεται δὲ οὗτος τὸ πάσῃ τύχῃ τῇ προσπιπτούσῃ χρῆσθαι πρὸς τὰς κατ’ ἀρετὴν ἐνεργείας. σὺ ἐκ τρίτων.

Grg 500a τὸν γὰρ Γοργίαν καὶ Πῶλον ὡς ἕνα ἔλαβεν. τεχνικοῦ.

Grg 500a,bis μέχρι τούτων ὁ περὶ τοῦ τελικοῦ αἰτίου, τουτέστι τοῦ ἀγαθοῦ, τῶν ἠθικῶν ἀρχῶν λόγος. ἔλεγον γὰρ αὖ κτλ.

Grg 500a,ter ἐντεῦθεν ὁ περὶ τῆς εὑρετικῆς τέχνης αὐτῶν, τάξιν εἰσαγούσης καὶ κόσμον ταῖς ψυχαῖς, ἥ ἐστι δικαιοσύνη καὶ σωφροσύνη καὶ ὅλως ἀρετή. παρασκευαί.

Grg 500b οὐ τέχνας, οὐκ ἐμπειρίας εἶπεν, ἀλλὰ τὸ μέσον τούτων, τὰς παρασκευάς, ὥσπερ ἐν τοῖς πρόσθεν τὰς ἐπιτηδεύσεις. τῶν μέν.

Grg 500b,bis παρασκευῶν δηλαδή. πρὸς Φιλίου.

Grg 500b,ter Διὸς ἦν ἐπώνυμον παρ’ Ἀθηναίοις ὁ φίλιος, ἐκ τοῦ εἶναι τῶν φιλικῶν καθηκόντων αὐτὸν ἔφορον. τοῦ ἀνδρὸς δή.

Grg 500c ὁ δή σύνδεσμος ἐμφαντικὸς εἰρωνείας ἐστίν. ἴσως οὖν.

Grg 500c,bis ὅρα τὴν παράδοσιν τῆς τῶν προβλημάτων τάξεως, ὅτι πρῶτον δεῖ διαιρεῖσθαι, εἶτα τὴν διαφορὰν τῶν διαιρεθέντων ἑλεῖν, καὶ τρίτον ὁποῖον βέλτιον. ἡ δ’ ἰατρική.

Grg 501a τούτῳ προσθετέον ἀπὸ κοινοῦ τὸ τέχνη εἶναι. ἡ μὲν τούτου κτλ.

Grg 501a,bis [Start of a diagram] τὰ κατὰ πᾶσαν θεωρούμενα τέχνην γνῶσις τοῦ πράγματος περὶ ὃ σπουδάζει ἐπίσκεψις αἰτιῶν δι’ ἃς προσφέρει ἑκάστοις ἃ προσφέρει ἀπόδοσις λόγου τούτων ἑκάστου [End of a diagram] διαριθμησαμένη.

Grg 501a,ter ἀντὶ τοῦ διακρίνασα ἢ διαλογισαμένη. ἀπὸ τοῦ ἀριθμοῦ δὲ εἴρηται, ἐπειδὴ καὶ οἱ ἀριθμοὶ διακέκρινται ἀπ’ ἀλλήλων καὶ πάντα κατ’ αὐτοὺς διατέτακται, ὡς ὁ Πυθαγόρειος διδάσκει λόγος. σὺ δὲ δή.

Grg 501c ὡς Γοργίου καὶ Πώλου τὰ αὐτὰ ἤδη συγχωρησάντων. οὐκ ἔγωγε.

Grg 501c,bis ἔμφασιν ἔχει τοῦ μὴ ἀρέσκεσθαι αὐτὸν οἷς ὁμολογεῖν ἀναγκάζεται. ἡ ἐν τοῖς ἀγῶσιν.

Grg 501e αὐλητικὴν μὲν πᾶσαν ἐκβάλλει τῶν ὀρθῶν πολιτειῶν, κιθαριστικὴν δ’ οὐ πᾶσαν, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσι μόνην. οἶδεν γὰρ ἄλλην, ἣν σῴζειν τὰς πολιτείας νενόμικεν. ἡ σεμνή.

Grg 502b ὡς εὐδοκιμοῦσα μᾶλλον τῶν ἄλλων τῆς μουσικῆς εἰδῶν κατ’ ἐκείνους τοὺς χρόνους. ἡ ποιητική.

Grg 502c ἰστέον ὅτι ἡ τραγῳδία, κολακεία τις οὖσα, ὑπὸ τὸ σοφιστικὸν ταύτης εἶδος τέτακται, ἅτε δὴ γνώμας ἀποφαινομένη καὶ περὶ δικαίων καλῶν τε καὶ ἀγαθῶν ὑψηλολογουμένη· ἢ καὶ κατὰ τὸ δημηγορικόν, καθ’ ὅσον καὶ αὐτός φησιν, εἴ τις αὐτῆς τὰ μέτρα περιέλοι, μηδὲν ἕτερον αὐτὴν φανῆναι ἢ δημηγορίαν, ἐπειδὴ καὶ παθῶν ὑπερβαλλόντων κινητικαὶ ἀμφότεραι. δημηγορία κτλ.

Grg 502c,bis [Start of a diagram][Start of a diagram section] ῥητορική δημηγορία ποίησις· [End of a diagram section] τραγῳδία [End of a diagram] (B 2 T W.) εἶεν· τί δὲ κτλ.

Grg 502d ἐντεῦθεν τῆς δημαγωγικῆς ῥητορικῆς διαβολή. ἐλευθέρων ἀνδρῶν.

Grg 502e

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτό φησι πρὸς ἀντιδιαστολὴν τῶν ἐν τοῖς θεάτροις ὄχλων, διὰ μὲν τῶν ἐλευθέρων τοὺς δούλους περιελών, διὰ δὲ τῶν ἀνδρῶν παῖδάς τε καὶ γυναῖκας. τί δέ; Θεμιστοκλέα κτλ.

Grg 503c ἡ τάξις τῶν δημαγωγῶν οὐ πρὸς τὸν χρόνον, πρὸς δὲ τὸν τρόπον αὐτῶν. πρῶτον γὰρ Θεμιστοκλέα φησὶν ὡς μᾶλλον κατὰ νοῦν καὶ λογισμὸν τὰ τοῦ πολέμου διαθέμενον, Κίμωνα δὲ δεύτερον ὡς ἐκείνῳ παραπλήσιον, Μιλτιάδην δὲ τρίτον ὡς τύχῃ μᾶλλον ἢ γνώμῃ τῶν πολεμίων κρατήσαντα, Περικλέα δὲ τελευταῖον, ἐπειδὴ πολὺς ἦν ὁ περὶ αὐτοῦ λόγος, καὶ δι' αὐτοῦ τὸν Σωκράτη μάλιστα προσάξεσθαι ἤλπισεν. δικαιοσύνη τε καὶ σωφροσύνη.

Grg 504d τῷ μὲν νομίμῳ τὴν δικαιοσύνην ἀποδέδωκεν, τῷ δὲ κοσμίῳ τὴν σωφροσύνην. αὐτὸς γνώσῃ.

Grg 505c ἀντὶ τοῦ εἴ τι θέλεις, ποίει· ἐμοὶ γὰρ οὐ μέλει. ἐπιθέντας κεφαλήν.

Grg 505d αἴνιγμα τοῦτο τῶν παλαιῶν τε καὶ σοφῶν ἀνδρῶν, τὸ τέλειον πανταχῇ τετιμηκότων· ἐξαιρέτως δὲ ἐν τοῖς περὶ τὸν λογισμὸν τὸν ἡμέτερον, ὃν μῦθον ὀνομάσαντες, ὅτι καὶ τὸν λόγον οὕτως ἐκάλουν, κεφαλὴν αὐτοῦ τὸν νοῦν αἰνίττονται, οὐδὲν ἄλλο διὰ τούτου παρεγγυῶντες ἢ πάντας ἡμῶν τοὺς λογισμοὺς πρὸς ἓν τέλος βλέπειν, τὴν κατὰ νοῦν ἐνέργειαν. Ἐπιχάρμου.

Grg 505e οὗτος ὁ Ἐπίχαρμος γέγονε κωμῳδιοποιός, καὶ εἰσήγαγέ τινας ἐν ἰδίῳ δράματι δύο διαλεγομένους πρὸς ἀλλήλους, καὶ ὕστερον ἕνα τῶν δύο πάλιν τὰ τῶν δύο διαλεγόμενον. ἕως αὐτῷ κτλ.

Grg 506b τὸν ὑπὲρ φιλοσοφίας λόγον βουληθῆναι ἄν φησιν ἀποδοῦναι Καλλικλεῖ, ὥσπερ ὁ Ἀμφίων τῷ Ζήθῳ τὸν ὑπὲρ μουσικῆς παρὰ τῷ Εὐριπίδῃ. ἐξ ἀρχῆς.

Grg 506c ἐξ ἀρχῆς, οὐ τοῦ διαλόγου φησί, τοῦ δὲ τελικοῦ αἰτίου τῶν ἠθικῶν ἀρχῶν. εἰ δὲ περὶ τοῦ τέλους μάλιστα προκειμένης τῆς ζητήσεως, περὶ τῆς ποιητικῆς αἰτίας καὶ τοῦ εἴδους ἐνδιέτριψεν, θαυμάζειν οὐ χρή. τὸ γὰρ ἀγαθόν, ὅπερ τὸ τέλος ἐστίν, ἄρρητον καθ' αὑτό. διόπερ ἐνταῦθα μὲν διὰ τῆς ἀποφάσεως, ὧν δοκεῖ εἶναι, ὅτι οὐκ ἔστιν ἡδονή, δηλοῦται· ἐν Παρμενίδῃ δὲ τελεώτερον οὐ περὶ ἀγαθοῦ τινος ἀλλ' ἁπλῶς περὶ τἀγαθοῦ ποιεῖται τὸν λόγον, ἐν Πολιτείᾳ δὲ δι' ἀναλογίας τινός. νυνὶ δ' ἐνταῦθα διὰ τῆς ἐπιστήμης καὶ τοῦ εἴδους, ὃ μόνως καὶ ἐξ ἀνάγκης παραγίνεται. τοιοῦτον δέ τινα τρόπον καὶ ἐν Φιλήβῳ· διὰ νοῦ γὰρ καὶ τῆς ἀληθοῦς ἡδονῆς. ποιητικὴν δέ φαμεν αἰτίαν τὴν ἐπιστήμην τῶν καλῶν καὶ ἀγαθῶν καὶ δικαίων, εἰδικὴν δὲ αὐτὰ ταῦτα, τελικὴν δὲ τἀγαθόν. ἆρα τὸ ἡδὺ κτλ.

Grg 506c,bis [Start of a diagram] τὸ ἀγαθὸν διὰ τῆς οἰκείας ἕκαστον ψυχή ἀρετῆς παραγίγνεται κόσμος καὶ τάξις πρᾶγμα ψυχή ἀρετή ἀγαθὴ σώφρων δικαία κοσμία κόσμον ἔχουσα ψυχή [End of a diagram] οὐ ταὐτὸν κτλ.

Grg 506c,ter ἐντεῦθεν Σωκράτης ἑαυτῷ ἀποκρίνεται. ἀλλὰ μὴν κτλ.

Grg 506d τοῦτο ὅπερ ἐλέγομεν, ὡς ἄρρητον αὐτὸ τὸ ἀγαθόν, διὰ τοῦ προσπαραγενέσθαι τὴν ἀρετὴν δηλῶσαι βούλεται ᾗ καὶ μόνῃ καὶ ἐξ ἀνάγκης συνέπεται. τάξει ἄρα κτλ.

Grg 506e τῆς ἀρετῆς εἶδος τὴν τάξιν καὶ τὴν ὀρθότητά φησι· τὸ δὲ ποιητικὸν τὴν τέχνην ἥτις ἐφ' ἑκάστῳ τέτακται πράγματι. οὔτε διώκειν κτλ.

Grg 507b οὔτε διώκειν τὰ κακὰ δηλονότι οὔτε φεύγειν τὰ ἀγαθά· ταῦτα γὰρ οὐ προσήκει αὐτῷ. ἃ μὴ προσήκει.

Grg 507b,bis εἰ μὴ πρὸς ἀρετὴν καὶ εὐδαιμονίαν φέροιεν. ὡς ἔχει ποδῶν.

Grg 507d ἀντὶ τοῦ ὅσον δυνάμεθα ὀφείλομεν φυγεῖν τὰς κακὰς πράξεις. κατ' ἀναλογίαν οὖν εἶπεν πόδας ὥσπερ πόδας Ἴδης τοῦ ὄρους φαμέν. κατὰ ζωὴν οὖν φεύγωμεν τὰ κακά, μὴ ποσίν, ἐπεὶ καὶ ὁ Πλωτῖνος ἀνάγεσθαι λέγει τὰς ψυχὰς οὐ ποδὶ ἀλλὰ ζωῇ. ὁ σκοπός.

Grg 507d,bis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκοπὸς καὶ τέλος τῇ σχέσει μόνῃ διαφέρουσιν. σκοπὸς μὲν γάρ ἐστιν ἡ ἀρχή, τέλος δὲ σκοπὸς εἰς ἐνέργειαν ἀχθείς. ἢ σκοπὸς τέλος ἀνέκβατον, τέλος δὲ σκοπὸς ἐκβεβηκώς. οἱ σοφοί.

Grg 507e σοφοὺς ἐνταῦθα τοὺς Πυθαγορίους φησί, καὶ διαφερόντως τὸν Ἐμπεδοκλέα, φάσκοντα τὴν φιλίαν ἑνοῦν τὸν σφαῖρον, ἑνοποιὸν εἶναι. τοῦτο δὲ πρὸς τῇ μιᾷ ἐστι τῶν πάντων ἀρχῇ. ἡ ἰσότης ἡ γεωμετρική.

Grg 508a ( 1) τουτέστιν ἡ δικαιοσύνη. ταύτην δὲ τὴν γεωμετρικὴν ἀναλογίαν Διὸς κρίσιν ἐν Νόμοις (757 b) ἐκάλεσεν, ὡς δι' αὐτῆς τῶν πάντων κεκριμένων τε καὶ ὡρισμένων. (2) ἀριθμητικὴν ἀναλογίαν εἶναί φασιν, ὅταν τριῶν ἀριθμῶν ἀνίσων ὁ μέσως ὑπερέχῃ τε τῷ ἴσῳ καὶ ὑπερέχηται, οἷον β′ δ′ ϛ′, γεωμετρικὴν δὲ ὅταν τριῶν ἀριθμῶν ὄντων ἀνίσων, ὃν ἔχει λόγον ὁ πρῶτος πρὸς τὸν δεύτερον, τοῦτον καὶ ὁ δεύτερος πρὸς τὸν τρίτον, οἷον δ′ ϛ′ θ′, ἁρμονικήν δὲ ὅταν τριῶν ἀριθμῶν ἀνίσων, εἰ ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἔχει καὶ ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, οἷον β′ γ′ ϛ′. [Start of a diagram][Start of a diagram section] β′ δ′ ϛ′ [Logical Relationship in a Diagram start mark] ὑπεροχὴ β′ [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] ὑπεροχὴ β′ [Logical Relationship in a Diagram end mark] ἀριθμητική [End of a diagram section] [Start of a diagram section] δ′ ϛ′ θ′ [Logical Relationship in a Diagram start mark] λόγος ἡμιόλιος [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] λόγος ἡμιόλιος [Logical Relationship in a Diagram end mark] γεωμετρική [End of a diagram section] [Start of a diagram section] β′ γ′ ϛ′ [Logical Relationship in a Diagram start mark] ὑπεροχὴ α′ [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] ὑπεροχὴ γ′ [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] ὑπεροχὴ β′ [Logical Relationship in a Diagram end mark] ἁρμονική τριπλάσιος [End of a diagram section][End of a diagram] ( Schema habent TW, non B 2 .) ἐπὶ κόρρης. [20]

Grg 508d ἐπὶ κεφαλῆς ἢ γνάθου ἢ κροτάφου. κόρρην γὰρ καὶ κόρσην ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσιν. τινὲς δὲ καὶ ῥάπισμά φασι τὸ ἐπὶ τῆς γνάθου λαμβάνειν ἁπτόμενον καὶ τοῦ κροτάφου. τέμνεσθαι.

Grg 508d,bis ἀντὶ τοῦ ζημιοῦσθαι. ἐμέ.

Grg 508e τὸν ἐκ ψυχῆς καὶ σώματος Σωκράτη, οὐ τὸν κατὰ τὴν ψυχὴν μόνην. οὐ γὰρ θεμιτόν, φησιν αὐτός, ἄμεινον ὑπὸ χείρονος βλάπτεσθαι. ἀγροικότερον.

Grg 509a διὰ τὴν μεταφορὰν τοῦ σιδηροῖς καὶ ἀδαμαντίνοις λόγοις. ὅτι μέντοι κτλ.

Grg 509a,bis προσυπακουστέον τὸ τοῦτο ἀκριβῶς οἶδα. εἰ οἷόν τε.

Grg 509b ἐπειδὴ μεῖζον μεγίστου οὐκ ἔστι, διὰ τοῦτο τὸ εἰ οἷόν τε πρόσκειται. ταύτην.

Grg 509b,bis τὴν τῆς ψυχῆς. δευτέραν.

Grg 509b,ter τὴν τοῦ σώματος. (T W: non habet B 2 .) τρίτην.

Grg 509c τὴν ἐκτός. καὶ τἆλλα.

Grg 509c,bis περὶ τῶν νομιζομένων ἀγαθῶν τοῦτο λέγει, οἷς καὶ τάξιν τινὰ ἐν Νόμοις ἐπέθηκεν, εἰπὼν (631 c) ὑγίειαν, κάλλος, ἰσχύν, πλοῦτον. ὁ ὅμοιος τῷ ὁμοίῳ.

Grg 510b παροιμία ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων καὶ ἀλλήλοις ἀεὶ συνδιαγόντων, ἐξ Ὁμήρου (ρ 218) λαβοῦσα τὴν ἀρχήν. ἐμνήσθη ταύτης καὶ ἐν τῷ Συμποσίῳ (195 b) “ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει· ὅμοιον ὁμοίῳ δεῖ (sic) πελάζειν”, καὶ ἐν τῷ Λύσιδι (214 b) καὶ Μένανδρος Σικυωνίᾳ (l. Σικυωνίῳ, fr. 443 Kock). σκυτοτόμον. [5]

Grg 517e σκυτοτόμον σκυτέα ἢ λωροτόμον. σκυτοδεψόν.

Grg 517e,bis δερματομαλάκτην ἢ βυρσοδεψῆ (sic). ΕΙΣ ΤΟΝ ΜΕΝΩΝΑ Θετταλοί.

Men 70a Θεσσαλία χώρα τις ὑπὸ τὴν Μακεδονίας ἐπαρχίαν, οἱ δ’ ἀπ’ αὐτῆς οὗτοι. Λαρισαῖοι ( F: λαρισαίου B T W: λαρισσαίου T).

Men 70b Λάρισσα πόλις Θεσσαλίας. Ἀλευαδῶν.

Men 70b,bis Ἀλευάδαι οἱ ἐν Λαρίσσῃ τῆς Θετταλίας εὐγενέστατοι, ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες. τοῦτο σχῆμα.

Men 75b,ter ὅρος σχήματος. (W: non habet T. idem habet W ad 76 a.) πολλοῦ δεῖς.

Men 79b,quat λείπῃ καὶ ἐνδεὴς 〈εἶ〉 εἰπεῖν· οἷον πολλοῦ δέῃ. περὶ τοῦ σχήματος.

Men 79d ἔλεγεν γὰρ ὅτι σχῆμά ἐστιν ὃ ἀεὶ χρόᾳ ἕπεται, αὕτη δὲ ἀγνοεῖσθαι ὑπέκειτο. ὡς γόης ἀπαχθείης.

Men 80b ὡς κακοῦργος παραδοθείης εἰς τὸ δεσμωτήριον. ἡ νάρκη αὐτή.

Men 80c ση 〈μείωσαι〉 περὶ τῆς θαλαττίας νάρκης. γιγνώσκεις τετράγωνον.

Men 82b σημείωσαι τὸν παρὰ τῷ Μένωνι λόγον, οὗ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης μνημονεύει ἐν τῇ λογικῇ πραγματείᾳ. μὴ ταύτῃ μὲν κτλ.

Men 83a οὕτω γὰρ ἑτερόμηκες εἴη οἷον— ἑτερόμηκες ἀναγραψώμεθα δὴ κτλ.

Men 83b τὸ ὅλον πόδες ις′ τοῦδε μὲν διπλάσιον.

Men 83c τοῦ τετράποδος (ad τετραπλάσιον, 83 c 4, adscriptum W). τούτου δὲ ἥμισυ.

Men 83c,bis τοῦ ἑξκαιδεκάποδος (ad ταυτησὶ τουτί, 83 c 5, adscriptum W). ἥμισυ ταύτης.

Men 83e τῆς δίποδος δηλονότι. ἔστι δ’ ἕν, ὃ σὺν αὐτῇ τῇ δίποδι ληφθὲν τὴν τρίποδα ποιεῖ, κατά τε μῆκος καὶ πλάτος. ᾤετο.

Men 84a λέγων εἶναι τὴν διπλασίαν τῆς δίποδος. προὔργου.

Men 84b συμφέρον ἢ πλέον, ὡς νῦν. ἄλλο τι οὖν γένοιτ’ ἂν κτλ.

Men 84d χωρίον προσθ〈ετόν〉 προσθ〈ετόν〉 ἀναπλ〈ηρωθέν〉 πόσα οὖν τηλικαῦτα κτλ.

Men 85a τρίγωνον ἐνταθῆναι.

Men 87a περὶ τῆς τοῦ τριγώνου εἰς τὸν κύκλον ἐντάσεως. ἔθρεψεν.

Men 90b ὁ πατὴρ δηλαδή. Ἡράκλεις.

Men 91c ἐπίφθεγμα θαυμαστικόν. εὐφήμει.

Men 91c,bis σιώπα, μὴ ἀκαιρολόγει. ἐδιδάξατο.

Men 93d ἐδιδάξατο καὶ ἐπαιδεύσατο δι’ ἑτέρου· αὐτὸς μέντοι Θεμιστοκλῆς δι’ ἑαυτοῦ οὐδὲν τούτων. δεδεμένα.

Men 97d τῶν πάλαι δημιουργῶν πλαττόντων τὰ ζῷα συμμεμυκότας ἔχοντα τοὺς ὀφθαλμοὺς καὶ οὐ διεστηκότας τοὺς πόδας, ἀλλ’ ἑστῶτα σύμποδα, Δαίδαλος ἄριστος ἀγαλματοποιὸς ἐπιγεγονὼς πρῶτος ἀναπετάννυσί τε τὰ τούτων βλέφαρα, ὡς δόξαι βλέπειν αὐτά, καὶ τοὺς πόδας, ὡς νομίσαι βαδίζειν, διίστησιν· καὶ διὰ τοῦτο δεδέσθαι, ἵνα μὴ φύγοιεν, ὡς δῆθεν ἐμψύχων ἤδη γεγονότων αὐτῶν. τοῖς δεδεμένοις οὖν τὰς ἀληθεῖς ἐοικέναι δόξας φησί, τοῖς λελυμένοις δὲ τούτων τὰς ψευδεῖς. οἷος πέπνυται. [5]

Men 100a ἐν τῇ κ′ τῆς Ὀδυσσείας (κ 493) φησὶν Ὅμηρος περὶ Τειρεσίου μάντιος ἀλαοῦ τοῦ τε φρένες ἔμπεδοί εἰσι τῷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια οἴῳ πέπνυσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν. ΕΙΣ ΤΟΝ ΜΕΙΖΟΝΑ ΙΠΠΙΑΝ Ἦλις. [5]

HpMa 281a Ἦλις πόλις ἐν Πελοποννήσῳ πρὸς τῇ Ὀλυμπίᾳ, ἀπέχουσα Πίσης τριακοσίους σταδίους. Λακεδαίμονα.

HpMa 281b

πόλις καὶ αὕτη Πελοποννήσου, πρότερον Σπάρτη προσαγορευομένη. Λεοντῖνος.

HpMa 282b Λεοντῖνοι πόλις Σικελίας. ἀτάρ.

HpMa 282c πλήν, ἅτε δή, ὅμως, καὶ ἀντὶ τοῦ δέ· νῦν δέ, καὶ δή. ἐκ Κέω.

HpMa 282c,bis νῆσος, ἣ καὶ Μεροπὶς ἐκαλεῖτο. καταλειφθέντων γὰρ αὐτῷ.

HpMa 283a ση 〈μείωσαι〉 περὶ Ἀναξαγόρου. (W: non habet T.) ση 〈μείωσαι〉 ὅτι Ἱππίας μνημονικώτατος ἤ (sic T: ἢ W) καὶ ἔφ’ ὅσον.

HpMa 288b αὐτὸ δείξει. παροιμία, αὐτὸ δείξει, ἐπὶ τῶν ἀπιστούντων τι μὴ γίνεσθαι. μέμνηται αὐτῆς καὶ Κρατῖνος ἐν Πυλαίᾳ (fr. 177 Kock), καὶ Πλάτων οὗτος ἐν Θεαιτήτῳ (200 e) καὶ ἐνταῦθα. καὶ ἔστιν, ὁ τὸν ποταμὸν καθηγούμενος καὶ τὸν πόρον ζητῶν, αὐτὸ δείξει. τῶν γὰρ παροιμιῶν αἱ μὲν καθ’ αὑτὰς λέγονται, αἱ δὲ ἐπὶ λόγων σαφηνίζονται. μέμνηται δὲ αὐτῆς καὶ Σοφοκλῆς ἐν Λημνίαις (fr. 388 Pearson) οὕτως· ταχὺ δὲ αὐτὸ (l. τάχ’ αὐτὸ) δείξει τοὖργον, ὡς ἐγώ, σαφῶς. τωθάσεται.

HpMa 290a σκώψει, χλευάσει, λοιδορήσει. ἔτνους.

HpMa 290d ἔτνος εἶδος ὀσπρίου, ὅ τινες καλοῦσι πισσάριον. τορύνη δὲ τὸ ταρακτήριον. [Start of a diagram] τὸ πρέπον δοκήσει καλὸν ποιεῖ ἄλλῳ τρόπῳ καλὸν ποιεῖ ἀληθείᾳ καλὸν ποιεῖ [End of a diagram] μέρμερος φροντίδος ἄξιος, ἢ χαλεπός.

HpMa 292a ἐφικέσθαι. καταλαβέσθαι. γεγωνεῖν.

HpMa 292d μέγα φθέγγεσθαι. βάλλ’ ἐς μακαρίαν.

HpMa 293a Ἡρακλέους θυγάτηρ, Μακαρία τοὔνομα, ἣν λόγος κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν αὐτοκέλευστον ἑαυτὴν ὑπὲρ τῆς πόλεως εἰς σφαγὴν ἐπιδοῦναι. τοὺς οὖν Ἀθηναίους κατὰ τιμὴν τῆς παιδός, βάλλοντας αὐτὸν (l. αὐτὴν) ἄνθεσιν καὶ στεφάνοις, παρακελεύεσθαι τοῖς ἄλλοις “βάλλ’ ἐς Μακαρίαν,” ὡς τὴν παροιμίαν παρελθεῖν καὶ ἐπὶ τῶν προθυμουμένων τι, αὖθις δὲ καταχρηστικῶς καὶ ἐπὶ πάσης ἀφοσιώσεως. Δοῦρις δέ φησιν (F H G II 486, 72; F G H 76 F 94) ὅτι αὕτη τὴν πυρὰν τοῦ πατρὸς κατέσβεσεν, καὶ ἐξ ἐκείνου παρὰ Μακεδόσι νενόμισται τὰς θυγατέρας τῶν κηδευομένων, οἷς ἂν 〈μὴ〉 ὦσι παῖδες, τὸ αὐτὸ πράττειν ἐπὶ τοῖς πατράσιν. ἆ.

HpMa 295a ( 1) ἆ περισπασθὲν δηλοῖ εἴθε· Καλλίμαχος (fr. 323)— ἆ πάντως ἵνα γῆρας. καὶ τὸ ὦ ἄρθρον· Ὅμηρος (υ 351)— ἆ δειλοί, τί κακῶν. σημαίνει δὲ καὶ τὸ πολὺ καὶ μέγα, παρ’ Ἀρχιλόχῳ (fr. 135 BergkCrusius; non habet Diehl)— ἆ ἔαδ’ εἴς τε ταύρους. τῷ τε ἐν ἴσῳ τῷ ναί, καὶ εἴθε. βραχέως δὲ καὶ δασέως τὸ ἅτινα, ὡς παρ’ Ἱπποκράτει. παρὰ δὲ Δημοκρίτῳ ἴδια. παρ’ Ὁμήρῳ τὰ ἑαυτοῦ (β 258)— τὰ ἃ πρὸς δώμαθ’ ἕκαστος. καὶ ἀντὶ τοῦ ὧν τέτακται, καὶ παρ’ Εὐριπίδῃ ἐν Μηδείᾳ (758) — πράξασα (l. πράξας’ ἃ) μέλλω καὶ τυχοῦς’ ἃ βούλομαι. καὶ παρὰ Σοφοκλεῖ (O C 1106)— αἰτεῖς ἃ τεύξῃ. εἰ δὲ ψιλωθείη περισπασθέν, τὸ νῦν σημαίνει, καὶ ἐν Εὔκλου τοῦ χρησμολόγου ποιήμασιν (cf. Paus. X 12, 11; 14, 6). βραχέως δὲ καὶ ψιλῶς σημαίνει ἀπόφασιν ἀρνητικήν. (2) ἆ περισπασθὲν δηλοῖ τὸ εἴθε, ἢ ὡς νῦν σχετλιαστικόν, ἀντὶ τοῦ φεῦ ἐπιρρήματος. ἀμέλει.

HpMa 295b ἀντὶ τοῦ τοιγαροῦν συλλογιστικοῦ συνδέσμου. καλὸν τὸ χρήσιμον.

HpMa 295e [Start of a diagram] καλόν πᾶν χρήσιμον πᾶν δυνατόν πᾶν δύναμις [End of a diagram] διανεκῆ.

HpMa 301b διὰ παντός. οὕτω καὶ Διογενιανός. οὐχ οἷα.

HpMa 301c παροιμία ἐπὶ τῶν λεγομένων ἢ πραττομένων κατὰ δύναμιν ὑφ’ ἑκάστου λεγομένη· τὰ ἡμέτερα οὐχ οἷα βούλεταί τις, ἀλλ’ οἷα δύναται. χαλεπὰ τὰ καλά.

HpMa 304e Περίανδρος ὁ Κορινθίων δυνάστης κατ’ ἀρχὰς δημοτικὸς ὢν ὕστερον εἰς τὸ τύραννος εἶναι μετῆλθεν. τοῦτο Πιττακὸν ἀκούσαντα, τότε Μιτυληναίων δυναστεύοντα, καὶ δείσαντα περὶ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑαυτοῦ γνώμης καθίσαι τε ἐπὶ τὸν βωμὸν ἱκέτην καὶ ἀπολυθῆναι τῆς ἀρχῆς ἀξιοῦν. τῶν δὲ Μιτυληναίων πυνθανομένων τὴν αἰτίαν, εἰπεῖν τὸν Πιττακὸν ὡς Χαλεπὸν ἐσθλὸν ἔμμεναι. τοῦτο δὲ μαθόντα Σόλωνα εἰπεῖν· Χαλεπὰ τὰ καλά, καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν· οἱ δ’ ἐπὶ τοῦ ἀδυνάτου τὸ χαλεπὸν ἀκούουσιν· ἐπὶ πάντων γὰρ γενέσθαι ἀγαθὸν ἀδύνατον. ΕΙΣ ΤΟΝ ΕΛΑΤΤΟΝΑ ΙΠΠΙΑΝ ἔμβραχυ.

HpMi 365d ἔμ ν βραχυ· συντόμως καὶ ἁπλῶς. Ὑπερείδης ἐν τῷ κατ’ Ἀριστοφῶντος (fr. 41 Blass) “οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράττειν καὶ γράφειν ὅτι ἂν ἔμ ν βραχυ βούληται.” Ἀριστοφάνης Θεσμοφοριαζούσαις (390)— ποῦ δ’ οὐχὶ διαβέβληκεν ὅπουπερ ἔμβραχυ εἰσὶ θεαταὶ καὶ τραγῳδικοὶ χοροί; Κρατῖνος Ὥραις (fr. 254 Kock)— ἔδει παρέχειν ὅτι τις εὔξαιτο ἔμβραχυ. ἀνέδην.

HpMi 368a ἐκκεχυμένως, καὶ τὸ κατὰ στέρησιν τοῦ ἔδους (l. ἕδους). στλεγγίδα καὶ λήκυθον.

HpMi 368c ( 1) στλεγγὶς ἡ ξύστρα, καὶ στλεγγιζόμενοι οἱ ἀποξυόμενοι, ὅ ἐστι κτενιζόμενοι. στλεγγὶς γὰρ τὸ κτένιον, ὡς Ἀριστοφάνης Γήρᾳ (fr. 139 Kock)— εἰ παιδαρίοις ἀκολουθεῖν δεις φέρων (l. δεῖ σφαῖραν) καὶ στλεγγίδ’ ἔχοντα. καὶ Δαιταλεῦσιν (fr. 207 Kock)— οὐδ’ ἔστιν αὐτῇ στλεγγὶς οὐδὲ λήκυθος. καλεῖται δὲ στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. (2) λήκυθος· ἀγγεῖόν τί φασιν Ἀττικοί, ἐν ᾧ τοῖς νεκροῖς ἔφερον τὸ μύρον, τὴν ἀλάβαστον. ἀρσενικῶς δὲ τὸν ἀλάβαστρον εἶπεν Ἡρόδοτος (III 20), ἐχρῶντο δὲ καὶ ἀντὶ φασκωλίων ληκύθοις, ἅ ἐστι δερμάτινα βαλλάντια (φάσκωλος δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται). διὸ καὶ τοὺς ἀπόρους ἀποληκύθους ( l. αὐτο–) ἔλεγον. λέγουσι δὲ τὴν λάγυνον λήκυθον, καὶ τὸ μεταξὺ τῆς λαυκανίας καὶ αὐχένος ἠχῶδες, ὥς φησι Κλέαρχος (F H G II 325, 72). λιπαρῆ.

HpMi 369d προσεδρευτικόν, ἐπιμελῆ. ἀρχαῖον.

HpMi 371d εὐήθη, ἢ ἁπλοῦν. εὐνοίας ( F: εὐηθείας T W f).

HpMi 371e γρ. καὶ εὐνοίας W. λιπαρής.

HpMi 372b ἐπιμελὴς καὶ προσεδρευτικός. κατηβολή.

HpMi 372e κατεβολὴ ( sic) τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ (T G F fr. 750) καὶ Πελιάσιν (T G F fr. 614). λέγεται δὲ οὕτως καὶ ἡ τοῦ πυρετοῦ περίοδος καὶ ὁρμή, καὶ μερίς, καὶ ἱερὰ νόσος, τὸ χρεών, τὸ καθῆκον, θυσία, τελετή, τὰ νομιζόμενα. ἦ ( F: ἦν T W).

HpMi 373b ἀντὶ τοῦ ἤμην, Ἀττικῶς. ΕΙΣ ΤΟΝ ΙΩΝΑ Ἐφέσου.

Ion 530a πόλις Ἰωνίας. Ἐπιδαύρου.

Ion 530a,bis πόλις ἐν Ἰλλυρίδι. μῶν.

Ion 530a,ter μὴ αὖ (l. οὖν), οὐ δή, ἄρα (l. ἆρα). ῥαψῳδῶν.

Ion 530a,quat ῥαψῳδούς φασι τοὺς τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντας. ἐκλήθησαν δὲ οὕτως, ἐπεὶ ῥάβδους ἔχοντες δαφνίνας ἀπήγγελλον. ῥαψῳδῆσαι λέγεται καὶ τὸ φλυαρῆσαι, ἢ τὸ ἁπλῶς λαβεῖν (l. λαλεῖν) καὶ ἀπαγγεῖλαι χωρὶς ἔργου τινός. Μαγνῆτιν.

Ion 533d ( 1) Πτολεμαῖος ὁ μέγας ἐν ζ′ τῶν γεωγραφικῶν ὑφηγήσεών (VII 30) φησι κατὰ τὴν ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικὴν [ὅτι] μετὰ καὶ ἄλλας νήσους τινὰς Σατύρων εἶναι τρεῖς, ὧν τοὺς ἐνοικοῦντας οὐρὰς ἔχειν ὁποίας διαγράφουσι τῶν Σατύρων. φέρονται δὲ συνεχεῖς καὶ ἄλλαι δέκα νῆσοι, καλούμεναι Μανιόλαι, ἐν αἷς φασι τὰ σιδηροῦς ἔχοντα ἥλους πλοῖα κατέχεσθαι, μήποτε τῆς Ἡρακλείας λίθου περὶ αὐτὰς γεννωμένης, καὶ διὰ τοῦτο ἐπιούροις (l. ἐπ’ οὐροῖς) ναυπηγεῖσθαι· κατέχειν τε αὐτοὺς ἀνθρωποφάγους. (2) Διογενιανὸς δὲ Μαγνῆτιν μὲν πλανᾶν λέγει τὴν ὄψιν λίθον, ὡς εἴη ἀργύρῳ ἐμφερής, τὴν δ’ Ἡρακλεῶτιν ἐπισπᾶσθαι τὸν σίδηρον. Τύννιχος.

Ion 534d ση 〈μείωσαι〉 περὶ Τυννίχου. (T: non habet W.) οἴνῳ πραμνείῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ion 538c Πράμνειος οἶνος ἤτοι ὁ ἀπὸ τῆς Πραμνίας ἀμπέλου, ἢ ὁ πραΰνων τὸ μένος. τινὲς δέ, ἐπειδὴ ἐν Πράμνῃ πρῶτον ἐφυτεύθη ἄμπελος τῇ ἐν Ἰκάρῳ. κνῆ τυρὸν κνῆστι ( F: κνήστει W et ex κνήστη fecit T).

Ion 538c,bis ἔκοπτε τυρὸν κοπίδι. βυσσόν ( T).

Ion 538d πυθμένα. ΕΙΣ ΤΟΝ ΜΕΝΕΞΕΝΟΝ ἐξ ὑπογύου.

Mx 235c παρ’ αὐτά, ἀπερισκέπτως, ἐκ τοῦ σύνεγγυς. αὐτοσχεδιάζειν.

Mx 235c,bis αὐτομάτως, ἀσκέπτως εἰπεῖν. Ἀσπασίαν.

Mx 235e Ἀσπασία αὕτη Ἀξιόχου, Μιλησία, γυνὴ Περικλέους, παρὰ Σωκράτει πεφιλοσοφηκυῖα, ὡς Διόδωρος ἐν τῷ περὶ Μιλήτου (l. μνημάτων) συγγράμματι φησίν. ἐπεγήματο δὲ μετὰ τὸν Περικλέους θάνατον Λυσικλεῖ τῷ προβατοκαπήλῳ, καὶ ἐξ αὐτοῦ ἔσχεν υἱὸν ὀνόματι Ποριστήν, καὶ τὸν Λυσικλέα ῥήτορα δεινότατον κατεσκευάσατο, καθάπερ καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν, ὡς Αἰσχίνης ὁ Σωκρατικὸς ἐν διαλόγῳ Καλλίᾳ καὶ Πλάτων ὁμοίως Πεδήταις. Κρατῖνος δὲ Ὀμφάλη τύραννον αὐτὴν καλεῖ, χείρων Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις (fr. 249 Kock) Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν (fr. 241 Kock), ἴσως ὅτι καὶ Περικλῆς Ὀλύμπιος προσηγορεύετο. ἔσχεν δ’ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ’ ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις (fr. 98 Kock). Ῥαμνουσίου. [10]

Mx 236a Ῥαμνοῦς δῆμος Αἰαντίδος, ἐξ οὗ οὗτος. ἔργῳ κτλ.

Mx 236d ἐπιτάφιος. (W: non habet T.) βοτά.

Mx 237d τὰ βοσκήματα. κατὰ πάντων δὲ χερσαίων καὶ πτηνῶν καὶ ἐνύδρων λέγεται, ζῷα ὅσα βόσκεται. περὶ τῶν ἐν Μαραθῶνι πολεμησάντων.

Mx 239e ὁ δὲ υἱός. τὸν Καμβύσην φησίν. Σάρδεσιν.

Mx 240a Σάρδεις πόλις Λυδίας. Ἐρέτριαν.

Mx 240b πόλις Εὐβοίας. Μαραθῶνα.

Mx 240c Μαραθὼν τόπος τῆς Ἀττικῆς, ἀπέχων τῶν Ἀθηνῶν σταδίους τριακοσίους, τῇ φύσει τραχύς, δυσίππαστος, ἔχων ἐν ἑαυτῷ πηλούς, τενάγη, λίμνας. τῇ ὑστεραίᾳ.

Mx 240c,bis νόμος γὰρ ἦν αὐτοῖς μὴ ἄλλως ἐξάγειν ἐπὶ πόλεμον, εἰ μὴ πανσέληνος ᾖ. περὶ τῶν ἐν Σαλαμῖνι καὶ Ἀρτεμισίῳ ναυμαχησάντων.

Mx 241a,bis Σαλαμῖνα ... Ἀρτεμισίῳ. Σαλαμὶς πρὸς τῇ Ἀττικῇ νῆσός τε καὶ πόλις. Ἀρτεμίσιον δὲ ἄκρα τῆς Εὐβοίας, ἡ τείνουσα ἐπὶ θάλασσαν. ἕτερος αὐλὼν παράκειται τῇ θαλάσσῃ, ἐν ᾧ ἡ ναυμαχία ἐγένετο. περὶ τῶν ἐν Πλαταιαῖς πολεμησάντων.

Mx 241c,bis Πλαταιαῖς. πόλις Βοιωτίας. περὶ τῶν ἐπ’ Εὐρυμέδοντι Παμφυλίας ποταμῷ ναυσὶ καὶ πεζῇ μαχεσαμένων ἐπί τε Κύπρον καὶ Αἴγυπτον ἐλθόντων.

Mx 242a περὶ τῶν ἐν Τανάγρᾳ μαχεσαμένων. Τανάγρᾳ.

Mx 242a,bis πόλις τῆς Βοιωτίας. περὶ τῶν ἐν Σικελίᾳ καὶ Ἑλλησπόντῳ καὶ Μιτυλήνῃ ναυμαχησάντων.

Mx 242e,bis Σικελίαν. Ἄλεξίς φησιν ὁ κωμικός (fr. 268 Kock)— τῶν ἑπτὰ νήσων ἃς δέδειχεν ἡ φύσις θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος, ἐστὶν μεγίστη, καὶ δὲ Σαρδὼ δευτέρα, τρίτη τε Κύρνος, καὶ τετάρτη θ’ ἡ Διὸς Κρήτη τροφός .................. Εὔβοια πέμπτη στενοφύης, ἕκτη Κύπρος Λέσβος δὲ τάξιν ἑβδόμην λαχοῦς’ ἔχει. Σικελία δ’ ἐκλήθη ἀπὸ Σικελοῦ τοῦ βασιλεύσαντος Αὐσόνων, οἳ ἀπὸ Ἰαπύγων ἐξαναστάντες διέβησαν εἰς τὴν πάλαι Σικανίαν καλουμένην. Ἑλλήσποντον. [10]

Mx 243a Ἀθάμαντος γυναῖκες Νεφέλη καὶ Ἰνώ. αὕτη ἐπιβουλεύουσα Φρίξῳ καὶ Ἕλλῃ, τοῖς ἐκ Νεφέλης τούτου παισίν, πείθει τοὺς ὑπ’ αὐτοῦ πεμφθέντας εἰς Δελφοὺς διὰ τὸν λιμὸν εἰπεῖν ὅτι παύσεσθαι τοῦτον ὁ Ἀπόλλων εἶπεν, εἰ Φρίξον αὐτῷ σφαγιάσειεν. Νεφέλη δὲ μαθοῦσα τοῦτο

λαμβάνει παρ' Ἑρμοῦ κριόπρωρον πλοῖον ὑπόχρυσον, ἐμβάλλει τε τοὺς παῖδας ἐν αὐτῷ πλεῖν καὶ φεύγειν. τῶν δὲ κατὰ τὴν μεταξὺ Σιγίου καὶ Χερρονήσου γενομένων θάλασσαν, ἡ μὲν Ἕλλη ἐκ τοῦ πλοίου εἰς τὸν βυθὸν ὤλισθεν, τῷ δὲ πελάγει τοὔνομα δίδωσιν ἀπ' αὐτῆς. Μυτιλήνη.

Mx 243c πόλις ἐν Λέσβῳ τῇ νήσῳ. Πειραιῶς.

Mx 243e Πειραιεύς· πόλις Ἀττικῆς καὶ λιμήν. Ἐλευσῖνι.

Mx 243e,bis Ἐλευσίς· δῆμος καὶ πόλις Ἀττικῆς. ἐντέτηκε.

Mx 245d ἐγκεκόλληται, πέπηγεν. ἐν Κορίνθῳ.

Mx 245e Κόρινθος πόλις ἐν Πελοποννήσῳ, κειμένη ἐν τῷ Ἰσθμῷ. Λεχεὸν (l. Λέχαιον) δὲ ἐπίνειον Κορίνθου, ὥσπερ ὁ Πειραιεὺς Ἀθηνῶν. εἰς τούτους δὲ τοὺς τόπους ἀπεδίδρασκον οἱ οἰκέται. τὸ μηδὲν ἄγαν.

Mx 247e παράγγελμα Σόλωνος. τῇ παροιμίᾳ.

Mx 248a τῇ μηδὲν ἄγαν. ΕΙΣ ΤΟΝ ΚΛΕΙΤΟΦΩΝΤΑ διατριβάς.

Clit 406a τὰς φιλοσόφους διαλέξεις σημαίνει, καὶ τὸν τόπον ἐν ᾧ εἰσι, καὶ τὴν περί τι χρόνιον διάθεσιν. ἐπὶ μηχανῆς τραγικῆς.

Clit 407a ( 1) ἐν ταῖς τραγῳδίαις, μετ' ἄλλας ἐπιδείξεις πολλάς, ἐπιφάνειαί τινες ἐπὶ τέλει ἐκ μηχανῆς τινὸς θεῶν ἀναδείκνυνται. τοῦτο γοῦν ἐνταῦθά φησιν. (2) παροιμία ἀπὸ μηχανῆς θεὸς ἐπεφάνης ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείᾳ ἢ σωτηρίᾳ φαινομένων. ἐν γὰρ ταῖς τραγῳδίαις ἐξ ἀφανοῦς θεοὶ ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο. Μένανδρος Θεοφορουμένῃ (fr. 227 Kock) καὶ Κεκρυφάλῳ (fr. 278 Kock). αἱρεῖ.

Clit 407d καταλαμβάνει. ὀφθαλμοῖς χρῆσθαι Schol.

Clit 407e rec. μὴ ζῆν κρεῖττον schol.

Clit 408a rec. πρός σε περὶ αὐτῶν κτλ.

Clit 408c schol. rec. κομψότατα.

Clit 409d πιθανώτατα ἢ τεχνικώτατα ἢ σπουδαιότατα. λιπαρῶν.

Clit 410b παρακαλῶν, προσεδρεύων. ΕΙΣ ΤΗΝ ΠΟΛΙΤΕΙΑΝ Πειραιᾶ.

R 327a Πειραιεὺς πόλις Ἀττικῆς καὶ ἐπίνειον Ἀθηναίων. ἤτοι λιμήν, ἢ ὁρμητήριον. τὴν ἑορτήν.

R 327a,bis ἑορτὴν ἐνταῦθα τὴν τῶν μικρῶν Παναθηναίων φησίν· ἦν γὰρ καὶ μεγάλα. καὶ ταῦτα μὲν ἦγον εἰς ἄστυ Ἑ 〈κα〉 τομβαιῶνος μηνὸς τρίτῃ ἀπιόντος· ἐν οἷς πέπλος τις ἀνήγετο τῇ Ἀθηνᾷ, καθ' ὃν ἐδείκνυτο ἡ κατὰ τῶν Γιγάντων ταύτης τε καὶ ἡ τῶν Ὀλυμπίων νίκη θεῶν. τὰ δὲ μικρὰ Παναθήναια κατὰ τὸν Πειραιᾶ ἐτέλουν, ἐν οἷς καὶ πέπλος ἄλλος ἀνεῖτο τῇ θεῷ, καθ' ὃν ἦν ἰδεῖν τοὺς Ἀθηναίους, τροφίμους ὄντας αὐτῆς, νικῶντας τὸν πρὸς Ἀτλαντίνους πόλεμον· ἃ δὴ τοῖς Βενδιδίοις καλουμένοις εἵπετο. τούτων δὲ καὶ Θρᾷκες ἐκοινώνουν, ἐπεὶ καὶ Βένδις παρ' αὐτοῖς ἡ Ἄρτεμις καλεῖται, καὶ αὕτη τιμωμένη κοινῇ παρ' ἀμφοῖν. ταῦτα δὲ ἐτελεῖτο Θαργηλιῶνος ἐνάτῃ ἐπὶ δέκα. Παιανιᾶ.

R 328b Παιανίαι, δῆμος Πανδιονίδος, ἐξ οὗ οὗτος. θαμίζεις.

R 328c συχνάζεις. χρῆν.

R 328c,bis ἔδει. ἦ ( sic T: ἦν A F t).

R 328c,ter ἀντὶ τοῦ ἤμην Ἀττικῶς. ὡς εὖ ἴσθι κτλ.

R 328d ὡς φιλολόγου Σωκράτους καὶ ζητητικοῦ ὄντος, καὶ λόγων εἰωθότος ἀνευρίσκειν πηγάς, οἱ προκείμενοι λόγοι Κεφάλῳ. τὴν παλαιὰν παροιμίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R 329a τὴν κολοιὸς ποτὶ κολοιὸν ἱζάνει· φιλάλληλον γὰρ τουτὶ τὸ ζῷον. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ὁμοίοις προσομιλούντων. προπηλακίσεις.

R 329b ὕβρεις ἢ διασυρμούς. ὑμνοῦσιν.

R 329b,bis ἀντὶ ὀδύρονται, λοιδοροῦσι, μέμφονται, κατ’ εὐφημισμόν. Σεριφίῳ.

R 329e Σέριφος νῆσος μία τῶν Κυκλάδων καὶ πόλις ἐν αὐτῇ. οἱ δ’ ἐξ αὐτῆς Σερίφιοι. χρηματιστής.

R 330b χρημάτων ποριστής. ἀτάλλοισα.

R 331a τρέφουσα, τιθηνοῦσα, σαίνουσα. συναορεῖ.

R 331a,bis συνήρτηται. τὸ ἀποδιδόναι κτλ.

R 331c ( in mg. α′ ). ὅτι δικαιοσύνη τὸ ἀποδιδόναι τὰ παραδοθέντα κατὰ τὸν Κεφάλου λόγον, καὶ τούτου ἔλεγχος. ἔφη.

R 331d Πολέμαρχος. ὅτι, ἦ δ’ ὅς, κτλ.

R 331e ( in mg. β′ ). ὅτι δικαιοσύνη τὸ τὰ ὀφειλόμενα ἑκάστῳ ἀποδοῦναι κατὰ Πολέμαρχον, καὶ τούτου ἔλεγχος. εἰ μέν τι κτλ.

R 332d ( in mg. γ′ ). ὅτι δικαιοσύνη ἡ τοῖς φίλοις ὠφελίας, βλάβας δὲ τοῖς ἐχθροῖς παρέχουσα τέχνη κατὰ Πολέμαρχον, καὶ τούτου ἔλεγχος. εἶεν.

R 332e ἄγε δή· συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. συμβόλαια.

R 333a σημείωσαι τίνα τὰ συμβόλαιά φησιν, ὅτι τὰ κοινωνήματα. ὅταν παρακαταθέσθαι κτλ.

R 333c ( in mg. δ′ ). ὅτι ὁ δίκαιος χρήσιμος ὅταν παρακαταθέσθαι δεῖ ἀργύριον καὶ σῶν εἶναι, ὥς φησι Πολέμαρχος, καὶ τούτου ἔλεγχος. εἴτε πυκτικῇ.

R 333e περὶ πυκτικῆς εὑρήσεις ὁποία τις ἦν μετὰ φύλλα δύο, ἐν ᾧ καὶ περὶ παγκρατίου διαλαμβάνεται. κεκάσθαι ( A T: κεκράσθαι W).

R 334b οἶμαι γράφεσθαι ὀφείλει ὑπὲρ πάντας ἀνθρώπους κεκάσθαι (W). ἔμοιγε δοκεῖ ἔτι κτλ.

R 334b,bis ( in mg. ε′ ). ὅτι τῆς δικαιοσύνης ὠφελεῖν μὲν τοὺς φίλους, βλάπτειν δὲ τοὺς ἐχθρούς, οὓς φίλους καὶ ἐχθρούς, κἂν μὴ ὦσιν, νομίζει, ὥς φησι Πολέμαρχος, καὶ τούτου ἔλεγχος. τὸν δοκοῦντά τε κτλ.

R 334e ( in mg. ς′ ). ὅτι δικαιοσύνης τὸ τοὺς ὄντας καὶ δοκοῦντας φίλους ὠφελεῖν, καὶ τοὺς ἐχθροὺς βλάπτειν ὁμοίως καὶ αὐτοὺς ἔχοντας κατὰ Πολέμαρχον, καὶ τούτου ἔλεγχος. βλαπτόμενοι δ’ ἵπποι κτλ.

R 335b ὅτι δικαιοσύνης καὶ δικαίου τὸ πάντας ὠφελεῖν. ἀφίππους.

R 335c ἀπείρως ἔχοντας ἱππικῆς. εὐηθίζεσθε.

R 336c μωραίνετε, ἀνοηταίνετε, εὐφήμως. σαρδάνιον.

R 337a ( 1) παροιμία ἐπὶ τῶν ἐπ’ ὀλέθρῳ σφῶν αὐτῶν γελώντων. οἱ γὰρ τὴν Σαρδὼ κατοικοῦντες, ὥς φησι Τίμαιος (F H G I 199, 28 et 29), ἐπειδὰν αὐτοῖς ἀπογηράσωσιν οἱ γονεῖς καὶ νομίσωσιν ἱκανὸν βεβιωκέναι χρόνον, ἄγουσιν αὐτοὺς ἐπὶ τὸν τόπον ἐν ᾧ μέλλουσι θάψαι, κἀκεῖ λάκκους ὀρύξαντες ἐπ’ ἄκρων χειλῶν τοὺς μέλλοντας ἀποθνῄσκειν καθίζουσιν, ἔπειτα ἕκαστος αὐτῶν σχίζαν ἔχων τύπτει τὸν αὑτοῦ πατέρα καὶ εἰς τοὺς λάκκους περιωθεῖ· τοὺς δὲ πρεσβύτας χαίροντας ἐπὶ τὸν θάνατον παραγίνεσθαι ὡς εὐδαίμονας, καὶ μετὰ γέλωτος καὶ εὐθυμίας ἀπόλλυσθαι. ἐπεὶ οὖν γελᾶν μὲν συνέβαινεν, οὐ πάνυ δὲ ὁ γέλως ἐπ’ ἀγαθῷ τινι ἐγίνετο, παρὰ τοῖς Ἕλλησι τὴν προκειμένην ῥυῆναι (l. ῥηθῆναι) παροιμίαν. Κλείταρχος δέ φησι (F G H 137 F 9) τοὺς Φοίνικας, καὶ μάλιστα Καρχηδονίους, τὸν Κρόνον τιμῶντας, ἐπάν τινος μεγάλου κατατυχεῖν σπεύδωσιν, εὔχεσθαι καθ’ ἑνὸς τῶν παίδων, εἰ περιγένοιντο τῶν ἐπιθυμηθέντων,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθαγιεῖν αὐτὸν τῷ θεῷ. τοῦ δὲ Κρόνου χαλκοῦ παρ’ αὐτοῖς ἑστῶτος τὰς χεῖρας ὑπτίας ἐκτετακότος ὑπὲρ κριβάνου χαλκοῦ, τοῦτον ἐκκαίειν τὸ παιδίον. τῆς δὲ φλογὸς τοῦ ἐκκειμένου πρὸς τὸ σῶμα ἐμπιπτούσης, συνέλκεσθαί τε τὰ μέλη, καὶ τὸ σῶμα σεσηρὸς φαίνεσθαι τοῖς γελῶσι παραπλησίως, ἕως ἂν συ[σ]σπασθὲν εἰς τὸν κρίβανον παρολίσθῃ. τὸν οὖν σεσηρότα γέλωτα σαρδάνιον ἐντεῦθεν λέγεσθαι, ἐπεὶ γελῶντες ἀποθνῄσκουσιν· σαίρειν δέ ἐστι τὸ διέλκειν τὸ στόμα καὶ χαίνειν. Σιμωνίδης δὲ ἀπὸ Τάλω τοῦ χαλκοῦ, ὃν Ἥφαιστος ἐδημιούργησε Μίνῳ φύλακα τῆς νήσου ποιήσασθαι, ἔμψυχον ὄν, τοὺς πελάζοντάς φησι κατακαῖον ἀνῄρει· ὅθεν ἀπὸ τοῦ σεσηρέναι διὰ τὴν φλόγα τὸν σαρδάνιόν φησι λεχθῆναι γέλωτα. ὁμοίως καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ (fr. 160 Pearson). ἤκουσα δέ, φησὶν ὁ Ταρραῖος, ἐγχωρίων λεγόντων ὅτι ἐν Σαρδόνι γίγνοιτο βοτάνη σελίνῳ παραπλήσιος, ἧς οἱ γευσάμενοι δοκοῦσι μὲν γέλωτι, σπασμῷ δὲ ἀποθνῄσκουσιν· οὕτω δὲ Σαρδόνιος ἂν λέγοιτο, καὶ οὐ Σαρδάνιος. μήποτε οὖν τὸ Ὁμηρικόν (υ 301), ὅθεν καὶ ἡ παροιμία ἴσως ἐρρύη, μείδησε δὲ θυμῷ σαρδάνιον μάλα τοῖον, τὸν ἀπ’ αὐτῶν τῶν χειλέων γέλωτα καὶ μέχρι τοῦ σεσηρέναι γινόμενον σημαίνει. (sic T W: aliter A.) (2) παροιμία ἐπὶ τῶν ἐπ’ ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων, (α′) ὅτι οἱ Σάρδωνα κατοικοῦντες αἰχμάλωτοι τοὺς ὑπὲρ τὰ ο′ ἔτη τῷ Κρόνῳ ἔθυον, γελῶντας ἕνεκα τοῦ τὸ ἔπανδρον ἐμφῆναι, ἢ (β′) ὅτι τοὺς γηράσαντας ἐν Σαρδοῖ συνωθουμένους σχίζαις ὑπὸ τῶν υἱῶν εἰς βόθρον γελᾶν· οἱ δὲ ἀπὸ τοῦ σεσηρέναι μετ’ ἀνίας· οἱ δὲ (γ′) ὅτι ἐν Καρχηδόνι ἐν ταῖς μεγάλαις εὐωχίαις ταῖς χερσὶ τοῦ Κρόνου (ἔστι δὲ χαλκοῦς ὑφ’ ᾧ κρίβανος) παῖδα ἐπιτίθενται, ὃς συνελκόμενος ὑπὸ τοῦ πυρὸς δοκεῖ γελᾶν· οἱ δὲ (δ′) ὅτι λάχανόν ἐστι παρὰ τοῖς Σαρδωνίοις ἡδὺ σελίνῳ ἐμφερές, οὗ τοὺς γευσαμένους τάς τε σάρκας καὶ σιαγόνας ἑαυτῶν ἀποδάκνειν· ἔνιοι δὲ (ε′) ὡς καὶ Ὅμηρος τοὺς ἐπὶ κακῷ γελῶντας— μείδησε δὲ δῖος Ὀδυσσεὺς σαρδάνιον (sic: cf. υ 300—302) ἄλλοι δὲ (ϛ′) Τάλω τὸν Ἡφαιστότευκτον πρὸ τῆς εἰς Κρήτην πρὸς Μίνω ἀφίξεως, ἐλθεῖν εἰς Σαρδὼ καὶ διαφθεῖραι πολλούς, οὓς σεσηρέναι τελευτῶντας.

R 337a (sic A.) Ὦ Ἡράκλεις.

R 337a,bis ἐπίφθεγμα θαυμαστικόν. εἰρωνεία Σωκράτους.

R 337a,ter εἰρωνεία ἐστὶ προσποίησις ἀδυναμίας ὧν δύναταί τις ποιεῖν, ἧς ἐναντίον ἀλαζονία, προσποίησις δυναμέως ὧν οὐ δύναταί τις ποιεῖν. ἄκουε δή κτλ.

R 338c ( in mg. α′ ). ὅτι δίκαιον τὸ τοῦ κρείττονος συμφέρον κατὰ Θρασύμαχον καὶ τούτου ἔλεγχος. Πουλυδάμας.

R 338c,bis οὗτος ὁ Πουλυδάμας ἀπὸ Σκοτούσσης ἦν, πόλεως Θεσσαλίας, διασημότατος παγκρατιαστής, ὑπερμεγέθης, ὃς ἐν Πέρσαις παρ’ Ὤχῳ γενόμενος τῷ βασιλεῖ λέοντας ἀνεῖλεν καὶ ὡπλισμένους γυμνὸς κατηγωνίσατο. παγκρατιαστής.

R 338c,ter ὁ παγκράτιον ἀγωνιζόμενος. ἔστι δὲ τοῦτο ἀγών τις ἐξ ἀτελοῦς πάλης καὶ ἀτελοῦς πυγμῆς συγκείμενος. καὶ δήλη μὲν ἡ πάλη, πυγμὴ δὲ τὸ πρὶν ἐσκευάζετο οὕτως. εἰς στρόφιον, ὅ ἐστι στρογγύλον ζωνάριον, οἱ τέσσαρες τῶν δακτύλων ἐνεβιβάζοντο, καὶ ὑπερέβαλλον τοῦ στροφίου τοσοῦτον ὅσον, εἰ συνάγοιντο, πὺξ εἶναι. ξυνείχοντο δὲ ὑπὸ σειρᾶς, ἣν καθάπερ ἔρεισμα ἐβέβληντο ἐκ τοῦ πήχεος. νυνὶ δὲ αὖ μεθέστηκε· ῥινοὺς γὰρ τῶν πιοτάτων βοῶν ἑψόντες, ἱμάντα ἐργάζονται πυκτικὸν ὀξὺν καὶ προεμβάλλοντα· ὁ δὲ ἀντίχειρ οὐ συλλαμβάνει τοῖς δακτύλοις τὸ πλήττειν, ὑπὸ (l. ὑπὲρ) συμμετρίας τῶν τραυμάτων, ὡς μὴ πᾶσα ἡ χεὶρ μάχοιτο. ταῦτα Φιλόστρατός φησιν ἐν τῷ Περὶ γυμναστικῆς. συκοφάντης.

R 340d συκοφάντης λέγεται ὁ ψευδῶς τί τινος κατηγορῶν, κεκλῆσθαι δ’ οὕτω παρ’ Ἀθηναίοις πρῶτον εὑρεθέντος τοῦ φυτοῦ τῆς συκῆς, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σῦκα. τῶν δὲ

φαινόντων τοὺς ἐξάγοντας συκοφαντῶν κληθέντων, συνέβη καὶ τοὺς ὁπωσοῦν κατηγοροῦντάς τινων φιλαπεχθημόνως οὕτως προσαγορευθῆναι. ὡς ἔπος εἰπεῖν.

R 341b τὸν ὡς φαίνεται μόνον, καὶ ὡς ἐν λόγῳ μόνον εἰπεῖν. ξυρεῖν ἐπιχειρεῖν λέοντα.

R 341c παροιμία ἐπὶ τῶν καθ’ ἑαυτῶν τι ἢ ἀδύνατον ποιεῖν ἐπιχειρούντων λεγομένη. τίτθη.

R 343a μάμμη, ἡ πρὸς πατρὸς ἢ μητρὸς μήτηρ. κορυζῶντα.

R 343a,bis μωραίνοντα, μυξώζοντα· κόρυζα γὰρ, ἡ μύξα, ἣν οἱ Ἀττικοὶ κατάρρουν φασίν. ὅσια.

R 344a ( 1) ὅσια τὰ βέβηλα, εἰς ἃ ἔστιν εἰσιέναι, ὡς Ἀριστοφάνης Λυσιστράτη (742)— ὦ πότνι’ Εἰλήθυα, ἐπίσχες τοῦ τόκου, ἕως ἂν εἰς ὅσιον ἀπέλθω χωρίον. καὶ ὅσια χρήματα τὰ μὴ ἱερά. λέγεται δὲ καὶ τὸ διονύσιον ὅσιον. (2) Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (XXXIV 96) τὰ μὲν τῶν θεῶν χρήματα ἱερά, τὰ δὲ κοινὰ τῆς πόλεως ὅσια ὀνομάζει. κατὰ μέρη ἀδικοῦντες.

R 344b τὸ ἑξῆς οὕτως· οἱ κατὰ μέρη τῶν τοιούτων κακουργημάτων ἀδικοῦντες. οὕτως, ὦ Σώκρατες.

R 344c ὅτι ἡ ἀδικία τῆς δικαιοσύνης δεσποτικώτερον καὶ ἐλευθεριώτερον, ὡς Θρασύμαχος. ἀρνυμένους.

R 346c ἀντὶ 〈τοῦ〉 καταλλαττομένους. προῖκα.

R 346e χωρὶς μισθοῦ. ζημίαν.

R 347a τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι, ὡς μετ’ ὀλίγον ἐρεῖ. ἐπιτρέψαι.

R 347d τὴν ἀρχὴν ἀναλαβέσθαι δηλαδή. πράγματα.

R 347d,bis ἀντὶ τοῦ φροντίδος· ἐξ οὗ καὶ πολυπράγμων ὁ πολύφροντις. ἀντικατατείναντες.

R 348a ἀντὶ τοῦ διεξελθόντες λόγον μακρόν. ἀνομολογούμενοι.

R 348b ἀντὶ τοῦ ὁμολογοῦντες. οὕτως, ἔφη, κτλ.

R 348b,bis ( in mg. β′ ). ὅτι κατὰ Θρασύμαχον ἡ δικαιοσύνη γενναία εὐήθεια· ἡ δὲ ἀδικία σοφία ἀληθινή, καὶ τούτου ἔλεγχος. ἀστεῖος.

R 349b νῦν γελοιώδης· σημαίνει γὰρ καὶ τὸν εὐσύνετον καὶ εὐπρόσωπον καὶ χαρίεντα. ἔφαμεν δὲ δή κτλ.

R 350d (γ′ ad loc.). ὅτι ἡ δικαιοσύνη ἀσθενεστέρα φύσει τῆς ἀδικίας, ἐρρωμενεστέρα δὲ ἡ ἀδικία κατὰ Θρασύμαχον, καὶ τούτου ἔλεγχος. ἀδύνατον ποιεῖ πράττειν.

R 352a ἀντὶ τοῦ μετὰ πίστεως καὶ ἀσφαλείας τι πράττειν. εὐωχοῦ.

R 352b ἀντὶ τοῦ ἀπόλαυε. κομιδῇ.

R 352c πάνυ. εἰ δὲ καὶ ἄμεινον κτλ.

R 352d (δ′ ad loc.). ὅτι κατὰ Θρασύμαχον εὐδαιμονέστερον ἀδικία δικαιοσύνης, καὶ τούτου ἔλεγχος. σμίλη.

R 353a σμίλη ἐστὶν ὄργανον τμητικόν, ἰσόπεδον τὴν βάσιν ἔχον, ὡς τοὐναντίον ὁ τομεὺς κυκλοτερῆ. ἔστι δὲ σκυτοτομικὸν ἐργαλεῖον. Βενδιδίοις.

R 354a προγέγραπται τίνα τὰ Βενδίδια ἐν τῇ τοῦ λόγου ἀρχῇ. ἆρά σοι δοκεῖ κτλ.

R 357b (α′, β′, γ′ in mg. ad ἆρά σοι δοκεῖ, τί δέ; et τρίτον δὲ). [Start of a diagram] τὸ ἀγαθόν αὐτὸ αὑτοῦ ἕνεκα χαίρειν ἀβλαβέσιν ἡδοναῖς καὶ αὐτὸ αὑτοῦ ἕνεκα καὶ διὰ τὰ ἀπ’ αὐτοῦ γινόμενα φρονεῖν ὁρᾶν ὑγιαίνειν τῶν ἀπ’ αὐτοῦ γινομένων ἕνεκα γυμνάζεσθαι ἰατρεύεσθαι [End of a diagram] πεφυκέναι γὰρ δή κτλ.

R 358e (α′ ad loc.). τίς ἡ παρὰ τοῖς πολλοῖς δικαιοσύνη καὶ ποία καὶ ὅθεν γίνεται. τὸ μὲν ἀδικεῖν ἀγαθόν κτλ.

R 358e,bis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Start of a diagram] α′ ἀδικεῖν ἧττον ἀγαθόν μὴ διδόναι δίκην β′ μήτ’ ἀδικεῖν ΔΙΚΑΙΟΝ μέσον ἀμφοῖν μήτ’ ἀδικεῖσθαι γ′ ἀδικεῖσθαι μᾶλλον κακόν μὴ δύνασθαι τιμωρεῖν [End of a diagram] (habent T W). ὡς δὲ καὶ οἱ κτλ. [5]

R 359b (β′ ad loc.). ὅτι κατὰ τοὺς πολλοὺς πάντες αὐτὴν οἱ ἐπιτηδεύοντες ἄκοντες ἐπιτηδεύουσιν, ὡς ἀναγκαῖον ἀλλ’ οὐχ ὡς ἀγαθόν. εἶναι μὲν γὰρ αὐτόν κτλ.

R 359d ση 〈μείωσαι〉 τὴν κατὰ Γύγην τὸν Λυδὸν ἱστορίαν καὶ τὸν δακτύλιον. (habet T). τὴν δὲ κρίσιν κτλ.

R 360e (γ′ ad loc.). ὅτι κατὰ τοὺς πολλοὺς εἰκότως ὡς ἀναγκαῖον ἀλλ’ οὐχ ὡς ἀγαθὸν τὴν δικαιοσύνην δρῶσιν. πολὺ γὰρ ἀμείνων ὁ τοῦ ἀδίκου ἢ ὁ τοῦ δικαίου βίος, ὡς λέγουσιν. πρῶτον μὲν οὖν κτλ.

R 360e,bis ση 〈μείωσαι〉 τὴν ἐπιβολήν (habent T W). ὁ ἄδικος ὥσπερ κτλ.

R 360e,ter,[5] [Start of a diagram] ὁ ἄδικος τὰ ἀδύνατα καὶ τὰ δυνατὰ διαισθανόμενος ἱκανὸς ἐπανορθοῦσθαι σφαλλόμενος λανθάνων ἐν τῷ ἀδικεῖν λέγειν ἱκανὸς πρὸς τὸ πείθειν καὶ ἔτι βιάζεσθαι ὁ δίκαιος ἁπλοῦς γενναῖος οὐ δοκῶν ἀλλ’ εἶναι θέλων τοὐναντίον τοῦ ἀδίκου ποιῶν [End of a diagram] κατ’ Αἰσχύλον. [5]

R 361b Αἰσχύλου ἐξ Ἀμφιαράου (Sept. 592)— οὐ γὰρ δοκεῖν δίκαιος ἀλλ’ εἶναι θέλων, βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος, ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. τέγγεσθαι. [5]

R 361c εἴκειν, ἐνδιδόναι, ὡς νῦν, ἢ βρέχεσθαι. ἀγροικοτέρως.

R 361e ἀντὶ σκληρότερον. ἀνασχινδυλευθήσεται.

R 362a ἀνασκολοπισθήσεται. ἀδελφὸς ἀνδρὶ παρείη.

R 362d παροιμία ἀδελφὸς ἀεὶ παρείη ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν. Πλάτων ἐμνήσθη ἐνταῦθα. παρῆκται δὲ ἴσως παρὰ τὸ Ὁμηρικὸν (π 97)— ἦ τι κασιγνήτοις ἐπιμέμφεαι οἷσί περ ἀνὴρ μαρναμένοισι πέποιθε[ν], καὶ εἰ μέγα νεῖκος ὄρηται. παῖδας γὰρ παίδων. [5]

R 363d ἐξ Ἡροδότου (VI 86), ἀπὸ τοῦ δοθέντος χρησμοῦ Γλαύκῳ τῷ Λάκωνι— ἀνδρὸς δ’ εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων. ὡς ἐπὶ τὸ πλῆθος.

R 364a ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πολύ. ἀγύρται.

R 364b οἱ ἀγείροντες ὄχλον ἐφ’ ἑαυτοὺς χυδαῖον. ἀκεῖσθαι.

R 364c θεραπεύειν. τὴν μὲν κακότητα κτλ.

R 364c,bis Ἡσιόδου (OD 285). ἀνάντη.

R 364d τραχεῖαν (T: καὶ τραχεῖαν A). λιστοί.

R 364d,bis ἀντὶ λιταζόμενοι, λιταῖς εἴκοντες. βίβλων.

R 364e περὶ ἐπῳδῶν καὶ καταδέσμων καὶ καθαρσίων καὶ μειλιγμάτων καὶ τῶν ὁμοίων. ὅμαδον.

R 364e,bis συναγωγήν, ἢ θόρυβον, ἀπὸ τοῦ ὁμοῦ αὐδᾶν. ἃς δὴ τελετὰς καλοῦσιν.

R 365a ση 〈μείωσαι〉 τίνας λέγει τὰς τελετάς. τὰν ἀλάθειαν βιᾶται.

R 365c ση 〈μείωσαι〉 τὸ δοκεῖν καὶ τὴν ἀλήθειαν βιᾶται. κύριον.

R 365c,bis τὸ δοκεῖν κύριόν ἐστιν. κατατείνας λέγω.

R 367b ἀντὶ τοῦ μακρὸν λόγον διεξέρχομαι. ὅτι τὸ μὲν δίκαιον κτλ.

R 367c σημείωσαι τὸ δριμὺ τῆς ἐπιβολῆς (habent T W). ὡμολόγησας.

R 367c,bis εἶπε γὰρ ἐν ἀρχῇ ὅτι δικαιοσύνην θετέον ἐν τῷ καλλίστῳ εἴδει τοῦ ἀγαθοῦ, ὃ καὶ δι’ αὑτὸ καὶ διὰ τὰ ἀπ’ αὐτοῦ γιγνόμενα ἀγαπητέον τῷ μέλλοντι μακαρίῳ ἔσεσθαι. τῶν μὲν ἄλλων.

R 367d ὧν προεῖπε ποιητῶν. ἀτάρ.

R 367e καὶ δή, πλήν, ἢ ἅτε δή, ἢ ὅμως, ἢ ἀντὶ τοῦ δέ. ἐλεγείων.

R 368a ᾠδαὶ τὰ ἐλεγεῖα, ἢ θρῆνοι, ἢ μῦθοι· ἔνθεν καὶ τὰ ἐπιτάφια ποιήματα ἐλεγεῖα καλοῦνται. Μεγαροῖ.

R 368a,bis Μέγαρα πόλις περὶ τὸν Ἰσθμόν, ἀνὰ μέσον Πελοποννήσου καὶ τῆς Ἀττικῆς καὶ Βοιωτίας. ἕρμαιον.

R 368d τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. ἐπειδὴ τυγχάνει κτλ.

R 369b ση 〈μείωσαι〉 τὴν αἰτίαν δι' ἣν γίγνεται πόλις. σμινύην.

R 370d σκαφίον. τινὲς δὲ ἀξίνην ἐκ τοῦ ἑτέρου μέρους δικελλοειδῆ. καπήλους.

R 371d τίνες οἱ κάπηλοι (habet T). τοὺς δὲ πλανήτας.

R 371d,bis τίνες οἱ ἔμποροι (habet T). ἄλφιτα.

R 372b ἄλφιτα κυρίως μὲν τὰ ἀπὸ πεφρυγμένων καὶ ἀλεσθεισῶν κριθῶν θραύσματα, καταχρηστικῶς δὲ καὶ τὰ ἀπὸ πυρῶν ῥοακῶν (l. ἢ φακῶν). τὰ μὲν .

R 372b,bis .. τὰ δέ. τὰ ἄλφιτα. τὰ ἄλευρα (W: non habent A T). πέψαντες.

R 372b,ter ἀρτοποιήσαντες. μάξαντες.

R 372b,quat φυράσαντες, ζυμώσαντες. βολβούς.

R 372c βοτάνης ὄνομα ποιᾶς. τραγήματα.

R 372c,bis παρὰ Λάκωσι τὰ παρ' ἡμῖν τρωγάλια. τραγήματα· βολβούς, μύρτα, φηγούς. σποδιοῦσιν.

R 372c,ter σποδιοῦσιν ἀντὶ τοῦ εἰς σποδὸν ἤτοι εἰς ἀνθρακιὰν ἐσβεσμένην ἑψήσουσιν. φλεγμαίνουσαν.

R 372e τρυφῶσαν, ἐπῃρμένην, μεγαλαυχουμένην. πέμματα.

R 373a πλακούντια. ῥαψῳδοί.

R 373b ῥαψῳδούς φασι τοὺς τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντας· ἐκλήθησαν δὲ οὕτως ἐπεὶ ῥάβδους δαφνίνας ἔχοντες ἀπήγγελλον· ῥαψῳδῆσαι δὲ λέγεται καὶ τὸ φλυαρῆσαι, ἢ τὸ ἁπλῶς λαβεῖν (l. λαλεῖν) καὶ ἀπαγγεῖλαι χωρὶς ἔργου τινός. κομμωτριῶν. [5]

R 373c κόμμι λέγεται τὸ ἐκ τῶν δένδρων ἅτε δὴ δάκρυον ἀπορρέον ὑγρόν, ᾧ χρῶνται πρὸς τὰς τρίχας τῶν γυναικῶν ὥστε μὴ διαχεῖσθαι ἀλλὰ μένειν ὡς ἄγαν συνημμένας ἐφ' οὗ βεβούληνται σχήματος αἱ κομμώτριαι, παρ' ὃ καὶ ἀπὸ τοῦδε τοῦ κόμμεος λέγονται, καὶ ἡ τέχνη κομμωτική. συβωτῶν. [5]

R 373c,bis ση 〈μείωσαι〉 ὅτι τὰς σῦς ἀπαγορεύει Πλάτων τοῦ ἐσθίεσθαι ἐν τῇ ἀρίστῃ πολιτείᾳ. οἷον ὀξύν κτλ.

R 375a [Start of a diagram] ἀρεταὶ φύλακος εὐαισθησία α′ ταχυτής β′ ἰσχύς γ′ ἀνδρεία δ′ φιλομαθία ε′ [End of a diagram] iterantur α′ β′ γ′ δ′ ε′ in mg. διωκάθειν. [5]

R 375a,bis διώκειν. κομψόν.

R 376a νῦν τὸ σπουδαῖον καὶ ἀγαθόν· σημαίνει δὲ καὶ τὸ πανοῦργον καὶ ἀπατητικὸν καὶ πιθανὸν καὶ τεχνικὸν καὶ ἀστεῖον καὶ περίλαλον. φιλομαθές.

R 376b ὅτι οἱ φιλομαθεῖς φιλόσοφοι. προὔργου.

R 376d πρὸ ἔργου, συμφέρον, πλέον. ἄλλως τε.

R 377a μάλιστα. κομιδῇ.

R 377b πάνυ. πολλοῦ δεῖ.

R 378c πόρρω λίαν εἶναι· ἢ οὐδὲ ὅλως. τοιοίδε που κτλ.

R 379a ( in mg. α′ ). τύπος θεολογικὸς ὅτι πάντων ἀγαθῶν ὁ θεὸς αἴτιος· τῶν κακῶν δ’ οὐδενός. οὐκοῦν ἀγαθός κτλ.

R 379b ( in mg. α ). ὅτι οὐκ ἔστιν ὁ θεὸς αἴτιος τῶν κακῶν (habet T, sed αἴτιος τῶν κακῶν ὁ θεός). ὠφέλιμον τὸ ἀγαθόν; ( in mg.

R 379b,bis β ). ὅτι οὐ πάντων αἴτιος· οὐδὲ γὰρ καὶ τῶν κακῶν (habent T W. αἴτιον ὁ θεός W). τῶν δὲ κακῶν ( in mg.

R 379c γ ). ὅτι τῶν κακῶν ἄλλα αἴτια, οὐχ ὁ θεός (habent T W). δοιοί τε πίθοι ( sic F: τε om.

R 379d A D M). περὶ τῶν παρ’ Ὁμήρῳ δύο πίθων τοῦ Διός. βούβρωστις.

R 379d,bis πονηρία, καὶ μεγάλη λιμός, οἱ δὲ οἶστρον ἢ ἀσθένειαν. τί δὲ δή κτλ.

R 380d ( in mg. β′ ). τύπος θεολογικὸς ὅτι ὁ θεὸς ἀμετάβλητος. είλήσεων.

R 380e τῶν ὑπὸ τοῦ ἡλίου ἐκκαύσεων. ἐκδειματούντων.

R 381e ἀντὶ τοῦ ἐκδειματούτωσαν, Ἀττικῶς. τί δέ; κτλ.

R 382a ( in mg. γ′ ). τύπος θεολογικὸς ὅτι ὁ θεὸς ἀληθής. ἡ ἐν τῇ ψυχῇ ἄγνοια κτλ.

R 382b ὅρος ψεύδους (habet W). ἔνι.

R 382d ἀντὶ τοῦ ἔστιν Ἀττικοί. παιᾶν’ (παιᾶνα F: παιῶν’ A).

R 383b ἀλαλαγμὸν ἐπ’ εὐτυχίᾳ, ὡς νῦν, ἢ νίκῃ. χορὸν οὐ δώσομεν.

R 383c ἀντὶ τοῦ οὐκ εὐδοκιμήσομεν καὶ νικήσομεν. χορὸν διδόναι γὰρ ἔλεγον ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν. παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες, ἀλλ’ οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι. τί δὲ δή κτλ. [5]

R 386a ( in mg. α ). ὅτι δεῖ τοὺς φύλακας πάντων φοβερῶν ἀνηκόους εἶναι εἰ μέλλοιεν ἀνδρεῖοι καθίστασθαι. ἐνέρους .

R 387c .. ἀλίβαντας. ἐνέρους· νεκρούς, ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ, ὅ ἐστι γῆ, κεῖσθαι. ἀλίβαντας δὲ τόπους ἐν Ἅιδου εἶναι μυθεύονται, διὰ τὴν τῆς λιβάδος ἀμεθεξίαν τῶν νεκρῶν. σχολῇ.

R 388d ἀντὶ τοῦ οὐδαμῶς. ἐπιπλήξειεν.

R 388d,bis ἀπὸ κοινοῦ τὸ σχολῇ ἂν ἑαυτὸν ἐπιπλήξειεν. οὐ μόνον, φησί, τοὺς ἄλλους οὐ κωλύσει, ἀλλ’ οὐδὲ ἑαυτόν. ἀλλὰ μήν κτλ.

R 388e ( in mg. β ). ὅτι φιλογέλωτας οὐ δέον εἶναι. οὐκοῦν Ὁμήρου κτλ.

R 389a ταῦτα πρὸς τὸν Ἀδείμαντον ἔτι Σωκράτης λέγει, τῇ συνήθει χρώμενος εἰρωνείᾳ. ἀλλὰ μὴν καί κτλ.

R 389b ( in mg. γ ). ὅτι ἀλήθειαν χρὴ περὶ πολλοῦ ποιεῖσθαι αὐτούς. παιδοτρίβην.

R 389c ἀλειπτήν, γυμναστήν. τί δέ; σωφροσύνης κτλ.

R 389d ( in mg. δ ). ὅτι καὶ σωφροσύνης δεήσει αὐτοῖς. ὡς πλήθει.

R 389d,bis ὡς ἐπίπαν, ὡς ἐπὶ τὸ πολύ. τὰ δὴ τοιάδε κτλ.

R 389e in mg. α′. sqq.

R 389e,bis [Start of a diagram] τὰ πρὸς σωφροσύνην ἐπιτήδεια ἀρχόντων ὑπηκόους εἶναι ἄρχειν ἡδονῶν τῶν περὶ πότους τῶν περὶ τὰ ἀφροδίσια [End of a diagram] τί δέ; ποιεῖν κτλ. [5]

R 390a in mg. β′. ἢ Δία, καθευδόντων κτλ.

R 390b in mg. γ′. οὐ μὲν δή κτλ.

R 390d ( in mg. ε ). ὅτι οὔτε δωροδόκους οὔτε φιλοχρηματους αὐτοὺς εἶναι χρή. ὀκνῶ.

R 391a ἀντὶ τοῦ εὐλαβῶς ἔχω. ὅτι οὐδ’ ὅσιον κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R 391a,bis ( in mg. ϛ ). ὅτι οὐδ’ ὑπερηφάνους οὔτε πρὸς θεοὺς οὔτε πρὸς ἀνθρώπους. καὶ αὖ ὡς κτλ.

R 391a,ter ἀπὸ κοινοῦ τὸ οὐδ’ ὅσιον. μὴ τοίνυν κτλ.

R 391c ( in mg. ζ ). ὅτι παυστέον προσάγειν αὐτοῖς μύθους ἁρπαγὰς εἰσηγουμένους. ἀγχίσποροι.

R 391e ἐγγὺς γένους. τί οὖν κτλ.

R 392a ( in mg. η ). ὅτι δικαιοσύνη ὡς λυσιτελής, δοξάζειν αὐτοὺς τῷ ἔχοντι χρή. ἀπερεῖν.

R 392b ἀπαγορεύειν. οὐκοῦν ἐάν κτλ.

R 392b,bis ἐὰν, φησίν, ἀβασανίστως ὁμολογήσῃς ἀγαθὸν εἶναι τὴν δικαιοσύνην, κακὸν δὲ τὴν ἀδικίαν, ἔχω τὸ ζητούμενον. εἰ δὲ λόγῳ δουλεύοιμεν, δεῖ πρῶτον ἡμᾶς διορίσασθαι τὴν τῆς δικαιοσύνης οὐσίαν. γελοῖος, ἦν δ’ ἐγώ κτλ.

R 392d ἀστεῖον. Ἰθάκῃ.

R 393b νῆσος πρὸς τῇ Κεφαλληνίᾳ. οἱ.

R 393e αὐτῷ. τραγῳδία τε καὶ κωμῳδία.

R 394c ( 1) τραγῳδία ἐστὶ ποίησις ἔμμετρος πρὸς ἅμιλλαν ᾠδῆς ἐπὶ δεινοπαθείᾳ προσώπων τε καὶ πραγμάτων γιγνομένη, καθ’ ἣν τῷ νικήσαντι τράγος ἔπαθλον ἐδίδοτο, ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχεν. (2) κωμῳδία ἐστὶ πόησις (sic) ἔμμετρος καὶ αὕτη πρὸς ἅμιλλαν ᾠδῆς, πρότερον μὲν ἐπ’ ἱλαρότητί τινι καὶ καρπῶν συγκομιδῇ γιγνομένη, μετὰ τοῦτο δὲ καὶ ἐπὶ διαβολῇ καὶ ἐνδείξει πονηρῶν προσώπων τε καὶ πραγμάτων εἰς σωφρονισμὸν ποιουμένη, καθ’ ἣν τῷ νικήσαντι γλεῦκος ἆθλον ἐδίδοτο, ὃ τρύγα ἐκάλουν. παρὸ καὶ ἤδε τὸ πρὶν τραγῳδία (sic: l. τρυγῳδία) κοινῶς ἐλέγετο· ὕστερον δέ, ἀπὸ τοῦ κατὰ κώμας ἄρξασθαι ταύτην πρὶν εἰς ἄστυ μετελθεῖν, κωμῳδία ὠνομάσθη. ἐν διθυράμβοις.

R 394c,bis ὁ διθύραμβος γράφεται μὲν εἰς Διόνυσον, κεκινημένος καὶ πολὺ τὸ ἐνθουσιῶδες μετὰ χορείας ἔχων, κέκληται δὲ ἀπὸ τῶν συμβάντων περὶ αὐτόν. ὀνομάζεται γὰρ οὕτως ἢ ἀπὸ τοῦ κατὰ τὴν Νύσαν ὑπὸ ἄντρῳ διθύρῳ τραφῆναι, ἢ διὰ τὸ λυθέντων τῶν ῥαμμάτων ἐκ τοῦ Διὸς μηροῦ εὑρεθῆναι, ἢ διὰ τὸ δόξαι γενέσθαι δίς, ἔκ τε τῆς Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός. εὑρεθῆναι δὲ τὸν διθύραμβον ἐν Κορίνθῳ ὑπὸ Ἀρίονός φασι, τῶν δὲ ποιητῶν τῷ μὲν α′ βοῦς ἔπαθλον ἦν, τῷ δὲ β′ ἀμφορεύς, τῷ δὲ γ′ τράγος, ὃν τρυγὶ κεχρισμένος ἀπῆγεν. χρείη.

R 394d δέοι. ἢ αὐτὰ ἐκεῖνα.

R 395b τὸ η ἀντὶ τοῦ κα ί. εἰ ἄρα τὸν πρῶτον κτλ.

R 395b,bis (in mg. θ ). ὅτι τοῖς φύλαξι λέξει χρηστέον μετεχούσῃ διηγήσεως τε καὶ μιμήσεως ἀνδρὸς ἀγαθοῦ, σμικρὸν δέ τι μέρος ἐν πολλῷ λόγῳ τῆς μιμήσεως, ἢ οὐδέν. εἰ ἄρα, ἦν δ’ ἐγώ, κτλ.

R 396b τὸ ἀπαγγελτικὸν ἅμα καὶ τὸ τῶν σπουδαίων μιμητικόν. τοῦτο γὰρ μόνον τὸ εἶδος τῆς διηγήσεως ἀγαπᾷ Πλάτων ἐν τῇ ἀριστοκρατίᾳ. ἡ ἐμὴ .

R 397d .. νικᾷ. κατ’ ἔλλειψιν τοῦ ψῆφος ἢ γνώμη. αἱρῇ.

R 397d,bis ἁλίσκῃ. μύρον κατὰ τῆς κεφαλῆς.

R 398a ( 1) παροιμία ἐπὶ τῶν ἀπὸ τῆς χρείας ἀφιεμένων. καὶ γὰρ ἐπὶ τῶν ἑορτῶν ἐοίκασιν οἱ ἄνθρωποι μύρῳ κατὰ τῆς κεφαλῆς καταχεῖσθαι, ὡς ἂν σχολάζοντες ἀπὸ τῶν ἔργων καὶ μόνῃ σχολάζοντες θυμηδίᾳ. καὶ πάλιν τοῖς ἀπὸ δουλείας μεταγομένοις ἐπ’ ἐλευθερίαν ἐρίου κάταγμα κατὰ τῆς κεφαλῆς ἐνδεσμούμενον τὸ ἐπίσημον. (2) μύρον καταχέειν τῶν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς ἀγαλμάτων θέμις ἦν, ἐρίῳ τε στέφειν αὐτά, καὶ τοῦτο κατά τινα ἱερατικὸν νόμον, ὡς ὁ μέγας Πρόκλος φησίν. ἆρ’ οὖν οὐ πᾶς κτλ.

R 398c ( in mg. ι ). ὅτι καὶ ἁρμονίᾳ τῇ δωριστὶ καὶ φρυγιστὶ χρηστέον αὐτοῖς, ἀκολουθούσῃ λόγῳ. ὅτι τὸ μέλος κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R 398d [Start of a diagram] τὸ μέλος σύγκειται ἐκ λόγου ἁρμονίας ῥυθμοῦ [End of a diagram] τίνες οὖν κτλ.

R 398e [Start of a diagram] ἁρμονίαι μιξολυδιστί συντονολυδιστί θρηνώδεις ὀδυρτικαί ἰαστί λυδιστί μαλακαὶ συμποτικαί δωριστί φρυγιστί πολεμικαὶ σώφρονες [End of a diagram] κινδυνεύει σοι κτλ.

R 399a ὁ Πρόκλος φησὶ τὴν μὲν Δώριον ἁρμονίαν εἰς παιδείαν ἐξαρκεῖν ὡς καταστηματικήν, τὴν δὲ Φρύγιον εἰς ἱερὰ καὶ ἐνθεασμοὺς ὡς ἐκστατικήν. μεταπείθοντι.

R 399b ἵνα ἄλλον νοήσωμεν προσερχόμενον τῷ μουσικῷ χάριν τινὸς δεήσεως καὶ ὧν λέγει, ἵνα μὴ πεισθῇ τῷ προσιόντι καὶ μεταπείθοντι ὁ μουσικός. ἃς νυνδή.

R 399c δωριστὶ καὶ φρυγιστί. πρὸ Μαρσύου Μαρσύας Ὀλύμπου μὲν τοῦ αὐλητοῦ υἱὸς ἦν, ἄκρος δὲ τὴν τέχνην οὗτος, ὡς διαμιλληθῆναι θαρρῆσαι τῷ Ἀπόλλωνι περὶ μουσικῆς.

R 399e δεξαμένου δὲ τούτου τὴν πρόκλησιν, κατήκουσαν μὲν αἱ Μοῦσαι ἀμφοῖν, γίνεται δὲ ἡ ψῆφος Ἀπόλλωνι. δαρείς τε εἰς τιμωρίαν ὁ Μαρσύας μετέδωκε κλήσεως τῷ ποταμῷ τῆς αὐτῆς, τῷ ἀπὸ τῆς ῥοῆς τοῦ αἵματος αὐτοῦ γεγονότι. νὴ τὸν κύνα.

R 399e,bis Ῥαδαμάνθυος ὅρκοι ὁ κατὰ κυνός, ἢ χηνός, ἢ κριοῦ, ἢ πλατάνου, ἤ τινος ἄλλου τοιούτου, οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ’ ἐσίγων. Κρατῖνος Χείρωσιν (fr. 231 Kock)· τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. ἴθι δή κτλ.

R 399e,ter ( in mg. ια ). ὅτι καὶ ῥυθμοῖς χρηστέον αὐτοῖς ἁπλοῖς, καὶ κοσμίῳ καὶ ἀνδρώδει βίῳ προσήκουσιν. ἐνόπλιον .

R 400b .. ἡρῷον. ὁ ἐνόπλιος σύνθετός ἐστιν ἐξ ἰάμβου καὶ δακτύλου καὶ τῆς παριαμβίδος, ἀνδρικὸς πρὸς πράξεις ἀναγκαίας καὶ ἀκουσίους, ἐξορμητικὸς εἰς πόλεμον. ὁ δὲ ἡρῷος δάκτυλος, ἁπλοῦς, κοσμιότητος ποιητικὸς καὶ ὁμαλότητος, παιδευομένοις προσήκων ὡς ἰσότητι κεκοσμημένος, ὡς ἐν τῷ εἰς ταῦτα ὑπομνήματι Πρόκλος φησίν. ὅτι τὸ τῆς εὐσχημοσύνης κτλ.

R 400c περὶ εὐσχημοσύνης. ὑποκοριζόμενοι.

R 400e διασύροντες, ὡς Ξενοφῶν, ἢ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες, ὡς Δημοσθένης. ἐκεῖ.

R 401e ἐν τῇ ἀριστοκρατίᾳ. παιδικά.

R 402e καὶ ἐπὶ θηλειῶν καὶ ἐπὶ ἀρρένων ἐρωμένων ἡ λέξις εὕρηται, κατὰ μεταφορὰν δὲ τὴν ἀπὸ τούτων καὶ ἐπὶ πάντων τῶν σπουδαζομένων πάνυ, ὡς ἐν Φαίδρῳ φησίν (236 b)· “Ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην ἐρεσχηλῶν σε.” ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. ἀπειροκαλίας.

R 403c τῆς ἀπειράτως τοῦ καλοῦ ἐχούσης ἕξεως. οἷ.

R 403c,bis ὅπου. μετὰ δὴ μουσικὴν κτλ.

R 403c,ter ( in mg. ιβ ). ὅτι καὶ γυμναστικῇ θρεπτέοι οἱ φύλακες ἁπλῇ τινι καὶ ἐπιεικεῖ. ἀκροσφαλεῖς.

R 404b ἄκρως σφαλλομένους. ἡδυσμάτων.

R 404c ἀρτυμάτων. πεμμάτων.

R 404d πλακούντων. οὐκοῦν ἐκεῖ μέν κτλ.

R 404e [Start of a diagram][Start of a diagram section] κατὰ μουσικήν [Logical Relationship in a Diagram start mark] ἁπλότης σωφροσύνη [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] ποικιλία ἀκολασία [Logical Relationship in a Diagram end mark] ἐν ψυχαῖς [End of a diagram section] [Start of a diagram section] κατὰ γυμναστικήν [Logical Relationship in a Diagram start mark] ἁπλότης ὑγίεια [Logical

Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] ποικιλία νόσος [Logical Relationship in a Diagram end mark] ἐν σώμασιν [End of a diagram section] [End of a diagram] ἀκολασίας δέ κτλ. [5]

R 405a ( in mg. ιγ ). ὅτι οὐχ ὡς ἐπακτῷ, ἀλλ' ὡς οἰκείῳ δεῖ τῷ δικαίῳ κεχρῆσθαι τοῖς οὕτω καλῶς τραφεῖσιν φύλαξι· καὶ διὰ τοῦτο οὐδὲ δικαστήρια εἶναι αὐτοῖς. λυγιζόμενος.

R 405c στρεφόμενος, καμπτόμενος, ἀπὸ τῶν λύγων· λύγος δέ ἐστι φυτὸν ἱμαντῶδες. τινὲς δὲ καὶ τὸ μετὰ τιμωρίας βασανίζειν λυγίζειν φασίν. καὶ αἱ μάστιγες αἷς οἱ ἀθληταὶ τύπτονται λύγοι καλοῦνται. τὸ δὲ ἰατρικῆς κτλ.

R 405c,bis ( in mg. ιδ ). ὅτι καὶ ἰατρικῆς αὐτοῖς δεῖ τῆς θεραπευτικῆς τραυμάτων καὶ ἐπετείων νοσημάτων, οὐ τῆς παιδαγωγικῆς τῶν ἄλλων παρὰ ταῦτα. νοσήμασιν ὀνόματα τίθεσθαι κτλ.

R 405d περὶ τοῦ διαιτητικοῦ τῆς ἰατρικῆς μέρους, καὶ ὅτι οὐκ ἦν ἐπὶ τῶν ἡρωϊκῶν χρόνων, ἀλλ' ἤρξατο ἀπὸ Ἡροδίκου τοῖς Ἕλλησιν. ἄτοπα.

R 405d,bis ἄτοπα νῦν ἃ μὴ ἔστι τοπάσαι, ὅ ἐστιν ὑπονοῆσαι, σημαίνει δὲ καὶ κακὸν καὶ ἄλογον καὶ θαυμάσιον. οἶνον Πράμνειον.

R 405e Πράμνειος οἶνος ἤτοι ὁ ἀπὸ τῆς Πραμνίας ἀμπέλου, ἢ ὁ πραΰνων τὸ μένος. τινὲς δὲ ἐπειδὴ ἐν Πράμνῳ πρῶτον ἄμπελος ἐφυτεύθη τῇ ἐν Ἰκάρῳ. Ἡρόδικον.

R 406a τὸν Σιλυμβριανόν (l. Σηλυμβριανόν) φησιν ἰατρόν. ἀπέκναισε.

R 406b διέφθειρεν, ὡς νῦν. σημαίνει δὲ καὶ διέκοψε καὶ ἐλύπησεν. σχολή.

R 406c προσεδρεία. πραγμάτων.

R 406e ἀντὶ τοῦ φροντίδων· διὸ καὶ πολυπράγμων ὁ πολύφροντις. πότερον μελετητέον τοῦτο.

R 407a τὸ ἀρετὴν ἀσκεῖν. ἐμπόδιον.

R 407b ἡ νοσοτροφία. κυκεῶνα.

R 408b κυκεών ἐστι κρᾶμα ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ τυροῦ καὶ ὕδατος ἀναμεμιγμένον, ᾧ ἐχρῶντο πρὸς πόσιν. νοσώδη δὲ φύσει κτλ.

R 408b,bis [Start of a diagram] ὁ νοσώδης ἢ ἐκ φυσικῆς δυσκρασίας ἐστίν ἢ ἐξ ἀκολασίας καὶ κακῆς διαίτης [End of a diagram] Μίδου πλουσιώτεροι.

R 408b,ter Μίδας Φρυγῶν βασιλεύς, ὃς δοκεῖ πλουσιώτατος γεγονέναι. τοῦτόν φασι καὶ ὄνου ὦτα ἔχειν, διὰ τὸ πρῶτον ὠτακουσταῖς αὐτὸν χρήσασθαι, παρόσον καὶ τὸ ζῷον ὁ ὄνος ἀκουστικώτατον. Ἀπόλλωνος μέν φασιν κτλ.

R 408b,quat ση 〈μείωσαι〉 περὶ Ἀσκληπιοῦ. γέροντα.

R 409b ση 〈μείωσαι〉 ὅτι δεῖ τὸν δικαστὴν γέροντα εἶναι. ὅτι μὴ ἀνάγκη.

R 410b εἰ μὴ ὅπερ ἐπάναγκες. μινυρίζων.

R 411a θρηνῶν, ἢ ἠρέμα ᾄδων. γεγανωμένος.

R 411a,bis λελαμπρυσμένος. ἀκράχολοι ( D: ἀκρόχολοι A F M).

R 411c ἄκρως χολούμενοι. ἐπὶ δὴ δύ' ὄντε κτλ.

R 411e [Start of a diagram][Start of a diagram section] μουσική [End of a diagram section] [Logical Relationship in a Diagram start mark] γυμναστική [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] φιλόσοφον [Logical Relationship in a Diagram end mark] [Start of a diagram section] θυμοειδές [End of a diagram section][End of a diagram] ἐκλεκτέον ἄρ' ἐκ τῶν ἄλλων κτλ.

R 412d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

( in mg. ιε ). ὅτι ἐκ τῶν φυλάκων ἐκλεκτέον τοὺς ἀρίστους καὶ γέροντας τῆς πόλεως ἄρχοντας. δόξαν.

R 412e τὸ δόγμα. φαίνεταί μοι δόξα κτλ.

R 412e,bis [Start of a diagram] ἡ δόξα ἐκ διανοίας ἔξεισιν ἑκουσίως τοῦ μεταμανθάνοντος ψευδής· ἡ ἀρετὴ ἀνωφελὴς κακοῦ στέρησις ἀκουσίως πᾶσα ἡ ἀληθής· ἡ ἀρετὴ ὠφέλιμος ἀγαθοῦ στέρησις [End of a diagram] καί μοι δοκοῦσιν κτλ.

R 413a [Start of a diagram] οἱ ἄκοντες ἀληθοῦς δόξης στερισκόμενοι κλέπτονται χρόνῳ λόγῳ βιάζονται ὀδύνῃ ἀλγηδόνι γοητεύονται ἡδονῇ φόβῳ [End of a diagram] τὸν μὲν μνήμονα κτλ.

R 413c in mg. α′. καὶ πόνους κτλ.

R 413d in mg. β′. καὶ τὸν μὲν μνήμονα κτλ.

R 413c,bis [Start of a diagram] ἡ τῶν φυλάκων ἐκλογὴ τριχῶς εἰ μνήμονες καὶ δυσεξαπάτητοι τοῦ παρ’ αὐτοῖς δόγματος εἰ πόνους καὶ ἀλγηδόνας καὶ ἀγῶνας φέροιεν εἰ ὑπὸ φόβων καὶ ἡδονῶν μὴ μεταβάλλοιντο [End of a diagram] οὐκοῦν, ἦν δ’ ἐγώ, κτλ.

R 413d,bis in mg. γ′. τούτους μὲν φύλακας κτλ.

R 414b [Start of a diagram] τῶν τῆς πόλεως φυλάκων οἱ μὲν φυλακικώτατοι καὶ ἄριστοι γέροντες, ἄρχοντες οἱ δὲ νέοι, ἐπίκουροι καὶ βοηθοὶ τοῖς τῶν ἀρχόντων δόγμασι [End of a diagram] Φοινικικόν.

R 414c τὸ ψεῦδος Φοινι 〈κι〉 κόν φησιν ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς Σπαρτοὺς καὶ Κάδμον ψευδῶς λεγομένων. οὗτος γὰρ Ἀγήνορος τοῦ Ποσειδῶνος καὶ Λιβύης ἦν, ἧς ἡ Φοινίκη χώρα. ὡς ἄρ’ ἃ ἡμεῖς κτλ.

R 414d ση 〈μείωσαι〉 τὸν μῦθον. οὐκ ἐτός ( sic pr.

R 414e , sed ἐτῶς altera manus). ὁτὲ μέν, οὐ μάτην· ὁτὲ δέ, οὐκ ἀλόγως. οἱ ὕστερον.

R 415d ἀπὸ κοινοῦ τὸ πεισθεῖεν. ἀγάγῃ.

R 415d,bis τὸ τοὺς ἔπειτα πεῖσαι. πρῶτον μὲν οὐσίαν κτλ.

R 416d τρόποι καθ’ οὓς οἱ φύλακες καὶ ζήσουσι καὶ οἰκήσουσιν. πρῶτον μὲν κτλ.

R 416d,bis in mg. α′. ἔπειτα οἴκησιν κτλ. in mg. β′. ταμιεῖον κτλ. in mg. γ′. τὰ δ’ ἐπιτήδεια κτλ. in mg. δ′. ἂν μὴ πᾶσα ἀνάγκη.

R 416d,ter εἰ μὴ τὴν ἀναγκαίαν, ἱμάτιόν φημι καὶ βρώματα εὐτελῆ. φοιτῶντας κτλ.

R 416e in mg. ε′. χρυσίον κτλ. in mg. ϛ′. ἀτεχνῶς.

R 419a ἀληθῶς, ἁπλῶς, ἀπανουργεύτως, τελείως, ἰσχυρῶς, παντελῶς. ἐπισίτιοι.

R 420a οἱ τροφῆς χάριν ἐργαζόμενοι. φάρμακα.

R 420c νῦν τὰ χρώματα, ἢ βάμματα. ξυστίδας.

R 420e ξυστίς ἐστι λεπτὸν ὕφασμα, περιβόλαιον, ἢ χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα, ὅ ἐστιν ἐπὶ τῇ πόρπῃ προσκόσμημα ἢ λίθινον ἢ χρυσοῦν ἢ ἀργυροῦν· πόρπη δέ ἐστιν ἡ ἄνω τῆς χλαμύδος σύνδ θ εσις. οἱ δὲ ξυστίδα τὸ λεπτόν, παρὰ τὸ ἐξύσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα. νευρορράφοι.

R 421a νευροράφους εἶπε Λυκοῦργος τοὺς τὰ νεῦρα ῥάπτοντας ταῖς λύραις. χυτρεύς.

R 421d κεραμεύς, ἀφ’ ἑνὸς εἴδους τῶν κεραμευομένων, τῆς χύτρας. ἀμέλει.

R 422c τοιγαροῦν. πόλεις.

R 422e

πόλεις παίζειν εἰδός ἐστι πεττευτικῆς παιδιᾶς· μετῆκται δὲ καὶ εἰς παροιμίαν. οὐ τῷ εὐδοκιμεῖν κτλ.

R 423a σῃ 〈μείωσαι〉 τίνα τὴν μεγάλην πόλιν λέγει. φαῦλον.

R 423c τὸ ῥᾴδιον, ὡς νῦν, εὕρηται δὲ σημαῖνον καὶ τὸ ἁπλοῦν καὶ κακὸν καὶ μοχθηρὸν καὶ τυχὸν καὶ μέγα. τήν τε τῶν γυναικῶν κτλ.

R 423e σῃ 〈μείωσαι〉 ὅτι περὶ τῆς τῶν γυναικῶν καὶ γάμων καὶ παιδοποιΐας κοινῆς κτήσεως ἐνταῦθά φησιν. κοινὰ τὰ φίλων.

R 424a Τίμαιός φησι (F H G I 211, 77) ταύτην λεχθῆναι τὴν παροιμίαν κατὰ τὴν μεγάλην Ἑλλάδα καθ’ οὓς χρόνους Πυθαγόρας ἀνέπειθε τοὺς ταύτην κατοικοῦντας ἀδιανέμητα κεκτῆσθαι χρήματα, κοινῶν τε πρὸς τούτοις καὶ θυσιῶν μετέχειν. χαριέντως.

R 426a εὐτραπέλως, σκωπτικῶς. Ὕδραν τέμνουσιν.

R 426e ὕδραν τέμνειν, παροιμία ἐπὶ τῶν ἀμηχάνων εἰρημένη, διὰ τὰς τῆς ὕδρας κεφαλὰς ἃς τέμνων Ἡρακλῆς οὐδὲν μᾶλλον ἐκράτει, ταύτης ἀναδιδούσης ἄλλας ἀντὶ τῶν κοπτομένων κεφαλάς. Δελφοῖς.

R 427b Δελφοὶ πόλις ἐπὶ τοῦ Παρνασσοῦ πρὸς τῇ Φωκίδι. τῷ πατρίῳ.

R 427c φασί τινες Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τούτῳ γονέας ἔχειν Γῆν καὶ Ἥλιον, ὃς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. οἱ δὲ ὅτι Κρεούσῃ τῆς Ἐρεχθέως μιγεὶς Ἀπόλλων Ἴωνα ἐγέννησεν, ἀφ’ οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα ἄμφω πάτριον αὐτοὺς Ἀπόλλωνα ἔχειν. ἐν μέσῳ τῆς γῆς.

R 427c,bis σῃ 〈μείωσαι〉 ὅτι τοὺς Δελφοὺς ὀμφαλὸν τῆς γῆς καὶ μέσον φησίν. δευσοποιόν.

R 429e ἔμμονον, δυσαπόπλυτον, ὡς νῦν. σημαίνει δὲ καὶ τὸν βαφέα. ῥυμμάτων.

R 429e,bis τριμμάτων, σμηγμάτων. χαλεστραίου.

R 430a Χαλάστρα πόλις τῆς Μακεδονίας καὶ λίμνη, ἔνθα τὸ χαλαστραῖον νίτρον γιγνόμενον διὰ ἐνναετηρίδος πήγνυται, ὁμοίως δὲ καὶ λύεται. κονίας.

R 430b σμῆγμα, σποδός. πραγματευώμεθα.

R 430d φροντίζωμεν· πρᾶγμα γὰρ καὶ ἡ φροντίς. κόσμος πού τις.

R 430e περὶ σωφροσύνης. ἔνι.

R 431a ἔνεστιν ἢ ἔστιν. ἐπιεικῶς.

R 431e τὸ ἱκανῶς, ὡς νῦν. σημαίνει δὲ καὶ τὸ πάνυ, καὶ παραδόξως, καὶ παρ’ ἐλπίδα, καὶ μετὰ χρηστότητος, καὶ μετρίως ἢ συμμέτρως. ὅρα τί σωφροσύνη.

R 432a (W: non habet A.) οὐκοῦν, ὦ Γλαύκων, κτλ.

R 432b περὶ δικαιοσύνης. εἰ γὰρ ὤφελον (ὄφελον A).

R 432c εὐκτικὸν ἐπίρρημα. ἰοὺ ἰού.

R 432d σχετλιαστικὸν ἐπίρρημα. βλακικόν.

R 432d,bis εὔηθες καὶ ἀνόητον· ἀπὸ τοῦ βλακός, ὅς ἐστι τοιοῦτος. εἴρηται δὲ ἀπ’ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι. ὅρα τί δικαιοσύνη.

R 433a (W: non habet A.) τοῦτο μάλιστα.

R 433d τοῦτο, τοῦτ’ ἔστι τὸ τέταρτον, ὅπερ ἐστὶν ἡ δικαιοσύνη. μεταλλαττόμενα.

R 434a ἀντὶ τοῦ πάσας τὰς ἄλλας τέχνας ἀμειβομένας ὑπ’ αὐτοῦ μίαν, εἶτα ἑτέραν, εἶτα πάλιν ἄλλην καὶ ἄλλην. καὶ δίκαιος ἄρα κτλ.

R 435b,c1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Start of a diagram] δικαιοσύνη σοφία ἀνδρεία σωφροσύνη ὅλη πόλις ἄρχοντες στρατιῶται χρηματισταί ὅλος ἄνθρωπος λόγος θυμός ἐπιθυμία [End of a diagram] χαλεπὰ τὰ καλά.

R 435c Περίανδρος ὁ Κορινθίων δυνάστης κατ’ ἀρχὰς δημοτικὸς ὢν ὕστερον εἰς τὸ τυραννικὸς εἶναι μετῆλθεν, καὶ τοῦτο Πίττακον ἀκούσαντα, τότε Μιτυληναίων δυναστεύοντα, καὶ δείσαντα περὶ τῆς ἑαυτοῦ γνώμης, καθίσαι τε ἐπὶ τὸν βωμὸν ἱκέτην καὶ ἀπολυθῆναι τῆς ἀρχῆς ἀξιοῦν· τῶν δὲ Μιτυληναίων πυνθανομένων τὴν αἰτίαν, εἰπεῖν τὸν Πίττακον ὡς Χαλεπὸν ἐσθλὸν ἔμμεναι· τοῦτο δὲ μαθόντα Σόλωνα εἰπεῖν· Χαλεπὰ τὰ καλά, καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. οἱ δ’ ἐπὶ τοῦ ἀδυνάτου τὸ χαλεπὸν ἀκούουσιν, ἐπὶ πάντα γὰρ γενέσθαι ἀγαθὸν ἀδύνατον. χαριεντίζοιτο.

R 436d εὐτραπελεύοιτο, σκώπτοι, ὡς Ἀριστοφάνης (fr. 166 Kock)— χαριεντίζεις καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει. ἤ.

R 437a8 διασαφητικὸν τὸ η , ἀντὶ τοῦ ἤπερ, οἷον εἴπερ ταύτῃ. εἴ ποτέ τι.

R 439b ὁ λόγος. τῷ αὐτῷ.

R 439b,bis τῷ ἑαυτοῦ μέρει· ἡ μὲν γὰρ ἐπιθυμία ἄγει πρὸς τὸ πιεῖν, ὁ δὲ λόγος ἀνθέλκει. κακοδαίμονες.

R 440a ὀφθαλμοὶ δηλαδή. αὐτὸν κοινωνήσαντα.

R 440b τὸν ἄνθρωπον. τοῦ τοιούτου.

R 440b6 τοῦ τοιούτου λέγει τοῦ συμμαχεῖν τῷ λόγῳ τὸν θυμόν. ὁ δὲ νοῦς οὗτος· ταῖς δὲ ἐπιθυμίαις σε κοινωνήσαντα ταῖς εὐλογίστοις, καὶ γινώσκοντά σε τοῦτο ἐκ τῆς πείρας, οὐχ ὑπολαμβάνω σε εἰπεῖν ὅτι ᾔσθημαι ἐν ταῖς τοιαύταις ἀγαθαῖς ἡδοναῖς τὸν θυμὸν ἀντιπράττοντα ταῖς ἐπιθυμίαις, ὥσπερ ἐπὶ ταῖς τοῦ Λεοντίου ἀλόγοις ἡδοναῖς ἀντέπραττεν. πολλοῦ δεῖν.

R 440e οὐδὲ ὅλως. ἢ καθάπερ ἐν τῇ πόλει κτλ.

R 440e,bis ἐν πόλει χρηματιστικόν ἐπικουρητικόν βουλευτικόν ἐν ψυχῇ ἐπιθυμητικόν θυμικόν λογιστικόν διανενεύκαμεν.

R 441c ἀντὶ τοῦ ἐπεραιώθημεν. νεάτης τε καὶ ὑπάτης.

R 443d νεάτη ἤτοι νήτη ὑπερβολαίων ἡ ἐσχάτη χορδὴ τοῦ δὶς διὰ πασῶν συστήματος, ὑπάτη δὲ ἡ μετὰ τὸν προσλαμβανόμενον λεγόμενον φθόγγον πρώτη χορδὴ τούτου δὶς διὰ πασῶν συστήματος. μέση δὲ καὶ αὕτη ἤτοι φθόγγος ἢ χορδὴ ἡ τελευταία μὲν τοῦ πρώτου διὰ πασῶν, ἀρχὴ δὲ τοῦ δευτέρου, ὡς εἶναι τούτων κοινή, ὡς Πτολεμαῖός τέ φησι καὶ οἱ ἄλλοι μουσικοί. ᾖα.

R 449a ᾖα δισυλλάβως τὸ ἐπορευόμην. σὺν τῷ ἰῶτα γράφεται· οἱ γοῦν Ἴωνες ᾔϊα λέγουσι, καὶ ᾔϊσαν τὸ ἤεσαν· καὶ παρὰ Θουκυδίδῃ (I 1) οὕτως ἀναγνωστέον· “ὅτι ἀκμάζοντές τε ᾔϊσαν (ᾖσαν edd. recc.) ἐς ταὐτόν (αὐτόν edd.).” οἱ δὲ Ἴωνες ἤεσαν καὶ ἤισαν. ὄκνος.

R 450d εὐλάβεια. ἦ που.

R 450d,bis ἴσως, σχεδόν· τὸ δὲ ἤπουγε πολλῷ πλέον. προσκυνῶ δὲ Ἀδράστειαν.

R 451a τρεῖς Μοίρας εἶναι θυγατέρας Ἀνάγκης φασίν, Κλωθώ, Λάχεσιν, Ἄτροπον, ἣν καὶ Ἀδράστειαν καλοῦσιν, ὅτιπερ οὐκ ἄν τις αὐτὴν ἀποδράσειεν, ἢ ὅτι ἀειδράστειά τις οἷόν ἐστιν, ὡς ἀεὶ δρῶσα τὰ καθ’ ἑαυτήν, ἢ ὡς πολυδράστεια· πολλὰ γὰρ δρᾷ· τοῦ ἄλφα πλήθους (l. πλῆθος) δηλοῦντος ὡς ἐπὶ τῆς ἀξύλου ὕλης. ἡ δὲ αὐτὴ καὶ Νέμεσις λέγεται ἀπὸ τῆς νεμήσεως, ὡς διαιροῦσα καὶ νέμουσα τὸ ἐπιβάλλον ἑκάστῳ. χαριέντων.

R 452b νῦν τῶν ἐν ἔργῳ τὸ σκώπτειν ποιουμένων. φιλοπαίσμων.

R 452e Ἀττικῶς ὁ φιλοπαίγμων. νεῖ.

R 453d νῦν κολυμβᾷ· σημαίνει δὲ καὶ τὸ νήθει. νευστέον.

R 453d,bis κολυμβητέον. δελφῖνά τινα.

R 453d,ter ( 1) ὡς τὸν Ἀρίονα δῆλον ὅτι τὸν Μηθυμναῖον. (2) Μήθυμνα πόλις ἐν Λέσβῳ τῇ νήσῳ, ἀφ’ ἧς Ἀρίων, κιθαρῳδὸς Περιάνδρου τοῦ Κορινθίων τυράννου. οὗτος ἱκανῶς ἔχων χρημάτων, ἐπιθυμίᾳ πλειόνων εἴς τε Ἰταλίαν καὶ Σικελίαν ἧκεν, ἀφ’ ὧν ἀπὸ τῆς τέχνης χρήματα συλλέξας πολλὰ εἰς Κόρινθον ἐπαναπλεῖ. ἐν ᾧ τῶν ναυτῶν διὰ τὰ τοῦδε χρήματα βουλομένων αὐτὸν ἀνελεῖν, τούτων μὲν ἐκείνοις, εἰ ἀφεῖεν, ἐξίστατο, πείθειν δὲ οὐκ ἔχων ἐδεῖτο αὐτῶν ἐπὶ τῆς πρώρας ᾆσαι βραχύ, εἶτα εἰς τὴν θάλασσαν ἅλλεσθαι, καὶ οἱ μὲν ἔδωκαν, ὁ δὲ ᾄσας ἑαυτὸν ἔρριψεν. δελφὶς δὲ ὑποθεὶς ἑαυτὸν τῷ κιθαρῳδῷ εἰς Ταίναρον κομίζει τὸ τῆς Λακωνικῆς ἀκρωτήριον. περὶ ταύτης οὖν τῆς ἱστορίας ἐνταῦθά φησιν. ἦ.

R 454a ἦ, διασαφητικόν, ὡς νῦν, ψιλούμενον καὶ περισπώμενον. ἔστι δὲ καὶ ἀπορ[ρ]ηματικόν, ἀλλὰ δὴ καὶ ἐρωτηματικόν. εἰ δὲ βαρύνοιτο, διαζευκτικὸν δηλοῖ. μῶν.

R 454a,bis ἀντὶ τοῦ ἆρα. ἀνδρείως.

R 454b ἀντὶ τοῦ θρασέως. ἐκεῖνο τὸ εἶδος.

R 454c τὸ ἐπιτήδειον. ποπάνων .

R 455c .. ἑψημάτων. πλακουντίων πλατέων καὶ λεπτῶν καὶ περιφερῶν. ἕψεμα ( sic) δέ ἐστιν ὃ ἔνιοι ἐραῖον (l. σίραιον) καλοῦσιν, οἱ δὲ γλυκύ. εὐχαῖς ὅμοια.

R 456b τὰ μὴ καθήκοντα· ἔστι γὰρ ὅτε καὶ τοιαῦτα εὐχόμεθα. ἀμφιέσονται ( A: ἐνδύσονται W).

R 457a γρ. ἀμφιέσονται (W). τὰς γυναῖκας ταύτας κτλ.

R 457c ση 〈μείωσαι〉 ὡς ἐνταῦθα σαφῶς περὶ κοινογαμίας διατάττεται. οὐ γεωμετρικαῖς γε.

R 458d ση 〈μείωσαι〉 ὅτι τῶν γεωμετρικῶν αἱ ἐρωτικαὶ ἀνάγκαι δριμύτεραι πρὸς τὸ πείθειν τὸν πολὺν λεών. σπαργῶσι.

R 460c ( 1) Ὅμηρος (ι 440)· “οὔθατα γὰρ σφαραγεῦντο.” (2) τοὺς μαστοὺς πλήρεις ἔχουσι γάλακτος, καὶ σπαράττονται ὑπὸ θλίψεως, δέονταί τε τοῦ ἐκκριθῆναι αὐτό. σημαίνει δὲ καὶ ὁρμῶσι καὶ ὀργῶσι καὶ ταράττονται. τίτθαις.

R 460d ταῖς τοὺς τίτθους παρεχούσαις, τροφοῖς δὲ ταῖς τὸν ἄλλον ἀναδεχομέναις πόνον, αἳ καὶ τιθηνοὶ καλοῦνται, αἵτινες περιφέρουσι, προσπαίζουσι, καὶ τῆς ἄλλης τροφῆς τῆς μετὰ τὸν ἀπογαλακτισμὸν ἐπιμέλειαν ἔχουσιν. φιτύοντος.

R 461a γεννῶντος, ὅπερ ἐπὶ πατρὸς τίθεται, οὐ μὴν ἐπὶ μητρός, ἀλλὰ γεννώσης. λέγεται δὲ καὶ τὸ γέννημα φίτυ, ὡς Εὔπολις Αὐτολύκῳ (fr. 49 Kock)— ἀτὰρ ἤγαγες καινὸν φίτυ τῶν βοῶν. τηθάς.

R 461d μάμμας. ἀδελφοὺς δέ κτλ.

R 461e ση 〈μείωσαι〉 ὅτι καὶ ἀδελφογαμεῖν ἐπιτρέπει. βιαίων .

R 464e .. αἰκίας. βιαίων δίκη βίας δίκης διαφέρει. βιαίων μὲν γάρ ἐστιν εἴ τις βίᾳ ἐπεισελθών τι ἔλαβεν ἀλλότριον ἢ εἰς χωρίου ἢ ἐξ οἰκίας, βιαίων ἐκρίνετο. ἐν δὲ ταῖς σχολικαῖς ὑποθέσεσιν βίας ἔγκλημά ἐστι κατὰ τῶν κόρην ἁρπασάντων ἢ παῖδα ἐλεύθερον. σημειωτέον δὲ ὅτι βιαίων γράφουσι τὴν δίκην οἱ παλαιοί, καὶ οὐδεὶς βίας. αἰκίας δὲ δίκη ἐστιν ὅταν ἐκ προχείρου πάθους τινὸς καὶ μὴ ἐκ προνοίας ἀδίκων τις ἄρξῃ χειρῶν. εἰσήγετο δὲ πρὸς τοὺς τεσσαράκοντα. πάντως.

R 465c κλέψαντες, ἤ τι τοιοῦτο. οἰκέτας.

R 465c,bis οἰκέτας τοὺς οἰκείους, οὐχὶ δὲ τοὺς δούλους μόνον, ὡς ἡ νῦν συνήθεια. ἔστι καὶ παρ’ Ἡροδότῳ (VIII 106) ἡ χρῆσις. ὀλυμπιονῖκαι.

R 465d Ὀλυμπιονῖκαι οἱ τοὺς ἐν Ὀλυμπίᾳ νικῶντες ἀγῶνας. μετὰ Πίσον γὰρ καὶ Πέλοπα καὶ Ἡρακλέα, τοὺς πρώτους διαθεμένους αὐτούς, ἠμελήθη ἐπὶ ὀκτὼ καὶ εἴκοσιν ὀλυμπιάδας. Ἴφιτος δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λυκοῦργος οἱ Ἡρακλεῖδαι καὶ Κλεοσθένης ὁ Κλεονίκου ἐπιγενόμενοι, καὶ εἰς ὁμόνοιαν τοὺς Πελοποννησίους παρακαλοῦντες, πέμπουσι περὶ τοῦ ἀγῶνος ἐρωτῶντες εἰς Δελφούς. καὶ ὁ Ἀπόλλων χρᾷ τοῦτον ἀνανεοῦν, καὶ τοῖς νικῶσιν ἆθλον διδόναι κότινον, ὅ ἐστιν ἐξ ἀγριελαίας στέφανον. οἱ δὲ τοῖς Ἠλείοις ἐπιτρέπουσι διαθεῖναι τὸν ἀγῶνα, οὗτοι δὲ τοῖς Πισάταις. ἄγεται δὲ διὰ πέντε ἐτῶν, μέσον τεσσάρων συντελουμένων. Ἦλις δὲ καὶ Πίσα πόλεις Πελοποννήσου, τριακοσίους σταδίους ἀλλήλων ἀπέχουσαι. ἀναδοῦνται.

R 465d,bis ἀναπλέκονται, στέφονται. ὅτου.

R 465e τοῦ Ἀδειμάντου δηλονότι. ἐξέκλινε δὲ τὸ τοῦ λόγου σκληρὸν διὰ τοῦ ἀορίστου. τὸν Ἡσίοδον ὅτι κτλ.

R 466c ἐν Ἔργοις καὶ Ἡμέραις (O D 40)— νήπιοι οὐδ’ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός. ἀλλὰ σμικρὸν οἴει κτλ.

R 467c ὁ νοῦς οὗτος· ἆρα, ὦ Γλαύκων, ἡγεῖ οὐκ εἶναι μέγιστον κέρδος τὸ τοὺς μέλλοντας γενήσεσθαι παῖδας ἐμπειροπολέμους μετὰ χρόνον αὐτοπτεῖν ἢ μὴ τὰ περὶ τὸν πόλεμον; σχεδὸν δὲ τὸ Ὁμηρικὸν (Π 811) παραφράζει— πρῶτ’ ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο, Εὔφορβος. ἦ γάρ; ἀντὶ τοῦ οὐχ οὕτως, καθ’ ὑπόκρισιν.

R 467c,ter ὅσα ἄνθρωποι. ἀντὶ τοῦ κατὰ ἀνθρωπίνην φύσιν· οἱ γὰρ θεοὶ πάντα ἴσασιν. πάντων, ἔφη, μάλιστα.

R 468b συγκαταθετικώτερον δοκεῖ μοι. ὅτι μὲν γάρ κτλ.

R 468c ἀγαθοὶ πλεῖστοι ἐκ τοῦ τιμᾶσθαι. τὸ Ὁμηρικὸν δὲ (I 317) λέγει— ἐπεὶ οὐκ ἄρα τις χάρις ἐστίν (sic): ἴση μο〈ῑ〉ρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζει (sic). ταῦτά γε.

R 468d τοῦτο πρὸς ἀντιδιαστολὴν τῶν ῥαπισθέντων Ὁμηρικῶν λόγων ἐν τοῖς πρώτοις. ὅλῳ καὶ παντί.

R 469c ὅλῳ καὶ παντὶ διαφέρειν· παροιμία ἐπὶ τῶν πάντῃ διαφερόντων λεγομένη, παρ’ ὅσον τὰ πράγματα καὶ ὅλα τυγχάνει ὄντα, καθὸ συνεχῆ ἐστιν ἑαυτοῖς καὶ μέρη ἔχει, καθὸ καὶ διωρισμένα τούτοις πᾶσίν ἐστι. τὸ οὖν πάντῃ διαφέρον τινός, ἅτε δὴ καὶ καθ’ ὅλον καὶ κατὰ μέρος τοῦδε πᾶν διενεγκόν, ὅλῳ καὶ παντὶ λέγεται διαφέρειν. τῶν ἀναιρέσεων.

R 469e τὰς ὑπὸ τῶν ἐν πολέμῳ ἡττηθέντων ἀναλήψεις τῶν νεκρῶν σωμάτων παρὰ (?) τῶν οἰκείων αὐτοῖς. ἐμοὶ μὲν τοίνυν κτλ.

R 470a διαφορὰ πολέμου καὶ στάσεως. ἀπὸ τρόπου.

R 470b ἀπὸ τρόπου τὸ αἰτίας χωρίς, πρὸς τρόπου δὲ τὸ κατ’ αἰτίαν. ἀλιτηριώδης.

R 470d ἀλιτηριώδης πρὸς βιὰν ποιουμένη, ἢ ἁμαρτανομένη, ἐκ τοῦ ἀλιτήριοι ὀνόματος παρηγμένη. κατὰ Διονύσιον γὰρ τὸν Ἁλικαρνασέα, λιμοῦ γενομένου Ἀθήνησιν οἱ πένητες τὰ προφερόμενα ἄλευρα διήρπαζον· ἐλέχθησαν οὖν οἱ τοὺς ἀλοῦντας ἐπιτηροῦντες ἀλιτήριοι, διέτεινε δὲ τὸ ὄνομα, ὥστε καὶ ἐπὶ πάντων τῶν μετὰ βίας τί π〈ο〉ιούντων ἢ ἁμαρτανόντων λέγεσθαι. μὴ διάτριβε.

R 472b μὴ καθ’ ὑπέρθεσιν λέγε. ἆρ’ οἷόν τε κτλ.

R 473a ὁ νοῦς οὕτως· ἆρα ἀκριβῶς, ὡς ὁ λόγος ἀπαιτεῖ, ἐνδέχεται τοὺς ἀνθρώπους πράττειν, ἢ ἡ πρᾶξις κατὰ φύσιν ἧττον ἅπτεται ἀληθείας ἤπερ ἡ λέξις καὶ ὁ λόγος· ἀλλ’ ἐν μὲν τῷ οὐρανῷ εὑρίσκομεν καὶ κύκλον ἐν σώματι καὶ σφαίρας καὶ τάξιν καὶ ἁρμονίαν καὶ ἀναλογίαν καὶ ὁμοιότητα καὶ ἰσότητα καὶ ἁπλῶς πάντα σύμφωνα τῷ λόγῳ, ἐν δὲ γῇ τοῦτο γενέσθαι δυσχερές; φύσιν ἔχει.

R 473a,bis ἀντὶ τοῦ πέφυκέ τις· πρᾶξις ἅπτεσθαι μᾶλλον τῆς λέξεως, ἧττον δὲ τῆς ἀληθείας ὅπερ ἐστὶν ἧττον εἶναι ἢ ὡς λέγεται. ἐὰν μή κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R 473c σημ〈μείωσαι〉 τί λέγει, ὅπερ ἐπὶ Μάρκου τοῦ φιλοσόφου, βασιλέως Ῥωμαίων, ἀπέβη. σημ〈μείωσαι〉 τὸ πολυθρύλληται (sic) τοῦ Πλάτωνος.

R 473d τῷ ἀνθρωπίνῳ γένει. τῶν πολλῶν ἀνθρώπων. τοῦτο δὲ καὶ Εὐριπίδης λέγει— πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων. τωθαζόμενος.

R 474a σκώπτων, λοιδορῶν, χλευάζων, αὐχῶν. ἁμῇ γέ πῃ.

R 474c ὁπωσδήποτε, καθ' ὅτι οὖν. λέγεται δὲ καὶ ἁμωσγέπως, καὶ ἁμόθεν, καὶ ἁμουγέπου, καὶ ἁμοιγέποι καὶ ἁμοσέποι. ὑποκοριζομένου.

R 474e κολακεύοντος, ἢ ὑποκρινομένου. σημαίνει δὲ καὶ διασύροντος, καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντος. τριττυαρχοῦσιν.

R 475a Ἀθήνῃσι δέκα μὲν ἦσαν φυλαί, διῄρητο δ' ἑκάστη τούτων εἰς τρία, εἰς τριττύας, εἰς ἔθνη, εἰς φατρίας. οἱ οὖν ἑκάστης τριττύος ἄρχοντες τριττύαρχοί τε καλοῦνται καὶ τριττυαρχοῦσιν. κακόσιτον.

R 475c κακόχυμον, βεβλαμμένον. τὸν δὲ δὴ εὐχερῶς κτλ.

R 475c,bis περὶ φιλομαθίας καὶ φιλοσοφίας. Διονυσίοις.

R 475d ἑορτὴ Ἀθήνῃσι Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Λήναια μηνὸς Μεμακτηριῶνος (sic), τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος. τοὺς τῆς ἀληθείας κτλ.

R 475e σημ〈μείωσαι〉 τίνας τοὺς φιλοσόφους φησίν. εἰ δὲ δή κτλ.

R 477a ὅτι μεταξὺ γνωστοῦ τε καὶ ἀγνώστου δόξα. [Start of a diagram] γνῶσις ὄν γνωστόν δόξα πῇ ὄν δοξαστόν ἄγνοια μὴ ὄν ἄγνωστον [End of a diagram] παίδων αἰνίγματι. [10]

R 479c Κλεάρχου γρῖφος— αἶνός τίς ἐστιν ὡς ἀνήρ τε κ' οὐκ ἀνὴρ ὄρνιθά τε κ' οὐκ ὄρνιθα ἰδών τε κ' οὐκ ἰδὼν ἐπὶ ξύλου τε κ' οὐ ξύλου καθημένην τε κ' οὐ καθημένην λίθῳ τε κ' οὐ λίθῳ βάλοι τε κ' οὐ βάλοι. Ἄλλως— ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως, ὁ εὐνοῦχος ὄρνιθα κ' οὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως, ῥοπτερίδα ἐπὶ ξύλου τε κ' οὐ ξύλου καθημένην νάρθηκος λίθῳ βαλών με κ' οὐ λίθῳ διώλεσεν κισήρει νυκτερίδα ὁ εὐνοῦχος νάρθηκος κισήρει. ηὑρήκαμεν ἄρα κτλ. [10]

R 479d,c1 [Start of a diagram] ὄν ὂν ἅμα καὶ μὴ ὄν μὴ ὄν ἐπιστήμη δόξα ἄγνοια ἐπιστητόν δοξαστόν ἄγνωστον [End of a diagram] τοῦτο μὲν δή κτλ.

R 485a (1) σημ〈μείωσαι〉 τὰ γνωρίσματα τῆς φιλοσόφου φύσεως. (2) τὰ τῆς φιλοσόφου γνωρίσματα φύσεως. α′. εἰ μαθήματός ἐστιν ἐραστὴς τῆς ἀεὶ οὔσης οὐσίας (α′ in mg. ad 485 a τοῦτο μὲν δή). β′. εἰ πάσης ταύτης καὶ οὐ μέρους αὐτῆς (β′ in mg. ad 485 b καὶ μήν, ἦν δ' ἐγώ). γ′. εἰ φιλαλήθης καὶ ἀψευδής (γ′ in mg. ad 485 b τόδε τοίνυν). δ′. εἰ πρὸς μόνα τὰ μαθήματα καὶ τὴν τῆς ψυχῆς ἡδονὴν ἐπιθυμ〈η〉τικῶς ἔχοι (δ′ in mg. ad 485 d ἀλλὰ μὴν ὅτῳ). ε′. εἰ μεγαλοπρεπὴς τὴν διάνοιαν καὶ θεωρητικὸς παντὸς χρόνου καὶ πάσης οὐσίας (ε′ in mg. ad 485 e καὶ μήν που). ϛ′. εἰ δίκαιος τὴν ψυχὴν καὶ ἥμερος (ϛ′ in mg. ad 486 b τί οὖν). ζ′. εἰ εὐμαθής (ζ′ in mg. ad 486 b οὐδὲ μὴν οὐδέ). η′. εἰ μνημονικός (η′ in mg. ad 486 c τί δὲ εἰ μηδέν). θ′. εἰ ἔμμετρος καὶ εὔχαρις (θ′ in mg. ad 486 d ἀλλ' οὐ μήν). ἐν τοῖς πρόσθεν. [10]

R 485b ὅτε ἔλεγεν ὅτι τριττυαρχοῦσιν οἱ φιλότιμοι πολλάκις, καὶ οἱ ἐρωτικοὶ συμπάσχοντες μελιχλώρους καλοῦσι τοὺς ὠχρούς. τὴν ἀψεύδειαν κτλ.

R 485c [Start of a diagram] φιλαλήθης φιλοψευδής φιλόσοφος [End of a diagram] ἑκόντας.

R 485c,bis ἀντὶ τοῦ ἐθελουσίους, τὸ δ' εἶναι παρέλκει Ἀττικῶς. του.

R 485c,ter ἀντὶ τοῦ τινός. ἦ οὖν κτλ.

R 485c,quat συ π μ (συμπέρασμα). ὅτῳ γε εἰς ἕν τι αἱ ἐπιθυμίαι σφόδρα ῥέπουσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R 485d ἐντεῦθεν καὶ τὸ τοῦ μεγάλου Γρηγορίου· τὸ οὗ μὲν φιλεῖ τὸ περί τι ἐρωτικῶς διακείμενον, καὶ τὰ ἑξῆς. ᾧ δὴ πρὸς τά κτλ.

R 485d,bis ση 〈μείωσαι〉 ὡς ἀληθέστατά φησι. ἀνελευθερίας .

R 486a .. σμικρολογία. ἀνελευθερία ἐστὶν ἕξις φαύλη περὶ χρήματα, μὴ ἀναλίσκουσα ταῦτα εἰς ἃ δεῖ καὶ ὅσα δεῖ καὶ ὅτε δεῖ. σμικρολογία δέ ἐστι φειδωλία περὶ χυδαίων τινῶν ἢ φροντίδα ἢ συλλογὴν ποιουμένη. μεγαλοπρέπεια.

R 486a,bis μεγαλοπρέπειά ἐστιν ἕξις βελτίστη περὶ δαπάνας, ἃς τῷ μεγάλῳ καὶ πρέποντι γίγνεσθαι προσήκει. ἰδιώματα τοῦ πρὸς τὴν τῆς πόλεως ἐπιτροπὴν ἐπιτηδείου.

R 487a εὐμαθής μνήμων μεγαλοπρεπής εὔχαρις φιλαλήθης δίκαιος ἀνδρεῖος σώφρων ἔμμετρος. πρὸς μὲν ταῦτα κτλ.

R 487b ὁ νοῦς οὗτος· οἱ πολλοὶ τῶν ἀκουόντων ταῦτα, διὰ τὸ μὴ εἶναι διαλεκτικοί, ἐπιστομίζονται ῥᾳδίως ὑπὸ σοῦ, ὦ Σώκρατες, ὄντος δεινοῦ ἐν διαλεκτικῇ. καὶ σὺ μὲν οὐκ ἀληθῆ λέγεις λέγων ταῦτα, ἐκεῖνοι δὲ ἀδυνατοῦσιν ἐλέγχειν σε. ἀλλ’ ἐκεῖνοι μὲν μὴ τολμῶντες πρὸς σὲ ἀντιλέγειν σιωπῶσιν· αὐτὰ δὲ τὰ πράγματα ἐναργῶς φαίνονται μὴ συμφωνοῦντα τοῖς ὑπὸ σοῦ λεγομένοις. σφεῖς.

R 487c ἐκεῖνοι. ἀλλοκότους.

R 487d ἐξηλλαγμένους, ἐναντίους, ξένους, πλημμελεῖς, ἀλλοφυεῖς. εἰκάζω ( index falso ad εἰκόνων, 487 e, adscr.

R 488a ). εἰκάζω τὸ ὁμοιῶ, καὶ τὸ εἰκονίζω τὸ αὐτὸ δηλοῖ. χρῆται δὲ τῇ λέξει ὅ τε Ξενοφῶν καὶ ὁ Ἀριστοφάνης καὶ ἄλλοι. ἀλλὰ ἄλλοι μᾶλλον.

R 488c ἀλλὰ μᾶλλον πείθωσιν, ἀπὸ κοινοῦ. μανδραγόρᾳ.

R 488c,bis ὑπνωτικὸς ὁ καρπὸς τοῦδε τοῦ φυτοῦ. Θεόφραστος δὲ ἐν τῇ περὶ φυτῶν πραγματείᾳ (p. 314 sq. Wimmer) τὴν ῥίζαν τοῦδε ξυσθεῖσάν τε καὶ ὄξει δευθεῖσαν πρός τε τὰ ποδαγρικὰ καὶ πρὸς ὕπνον μᾶλλον εἶναι χρησίμην φησί, καὶ δὴ πρὸς φίλτρα. διδόασι δὲ ἐν οἴνῳ ἢ ὄξει. ἀδολέσχην.

R 489a μακρολόγον, φλύαρον. κομψευσάμενος.

R 489b ( 1) πανουργευσάμενος. (2) κομψευσάμενον τὸν Εὔβουλόν φησιν, ὃς ὑπὸ Σωκρατοὺς ἐρωτηθεὶς ὡς “ὦ Εὔβουλε, σοφὸς ἐθέλεις εἶναι ἢ πλούσιος;” ἔφη· πλούσιος· τοὺς γὰρ σοφοὺς ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις καθεύδοντας. πρὸς ὃ τὸν Σωκράτη πάνυ ἀγχίνως εἰπεῖν ὡς “οἱ μὲν σοφοί, ὦ Εὔβο 〈υ〉 λε, ἴσασιν ὧν δέονται, τῆς πρὸς τὴν τῶν ἀναγκαίων χρείαν γὰρ χορηγίας, ἧς οἱ πλούσιοι, εἰ βούλοιντο, χορηγοί· αὐτοὶ δ’ οὗτοι οἱ πλούσιοι οὐκ ἴσασιν· τῆς ἀνθρωπίνης γὰρ ἀρετῆς, ἣ διὰ τῆς διδασκαλίας τῶν σοφῶν τῷ βουλομένῳ παντὶ οἵα τ’ ἐστὶ παραγίνεσθαι.” ᾧ προσήκει.

R 490b τῷ λογιστικῷ. ταύτης δή κτλ.

R 490e πολλοί, φησίν, ἀρξάμενοι φιλοσοφεῖν ἐγένοντο πονηρότατοι· μικρὰ δέ τις αὐτῶν μοῖρα καὶ ὀλίγιστοι ἐκφεύγουσι τὴν φθορὰν ταύτην καὶ οὐ γίγνονται πονηροί, ἄχρηστοι δὲ ὅμως. καὶ μετὰ τοῦτο κτλ.

R 490e,bis τὸ ἑξῆς· καὶ μετὰ τοῦτο αὖ τὰς τῶν ψυχῶν φύσεις, τὰς εἰς τὸ τῆς φιλοσοφίας ἐπιτήδευμα καθισταμένας καὶ μιμουμένας τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις, δεῖ θεάσασθαι οἷαι οὖσαι εἰς μεῖζον ἑαυτῶν ἐπιτήδευμα ἀφικόμεναι, πλημμελοῦσαι ψόγον κατὰ τῆς φιλοσοφίας προσῆψαν. θεῖον μέντοι κτλ.

R 492e

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ση 〈μείωσαι〉 τὸ ἐξαιρῶ λόγου ὅτι παροιμιῶδες. οὗτοι οὗτοι οἱ δημαγωγοί, οὓς σοφιστὰς μεγίστους ἄρτι ἔλεγεν.

R 493a,bis ταῦτα τὰ τῶν πολλῶν. τὰ τῆς ἐπικρατούσης ἤτοι δημοκρατίας ἢ τυραννίδος ἢ τῶν ἄλλων. θρέμματος.

R 493a,ter διὰ τοῦ θρέμματος ἐξετραγῴδησε τὴν ἀλογίαν τῶν τοιούτων ὄχλων. τούτοις.

R 493d τοῖς ἰδιώταις, τοῖς ἀπαιδεύτοις. ἡ Διομηδεία κτλ.

R 493d,bis Διομήδειος ἀνάγκη, παροιμία ἐπὶ τῶν κατ’ ἀνάγκην τι πραττόντων εἰρημένη, ἀφ’ ἱστορίας τοιαύτης, ἧς καὶ Ἀριστοφάνης μέμνηται ἐν Βατράχοις (immo Eccl. 1029), ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ Παλλάδιον κλέψαντες ἐξ Ἰλίου νυκτὸς ἐπανήεσαν ἐπὶ τὰς ναῦς σελήνης ὑποφαινούσης, φιλοτιμούμενος δ’ Ὀδυσσεὺς αὐτοῦ μόνου δόξαι γενέσθαι τὴν πρᾶξιν ἐπεχείρησεν τὸν Διομήδη μετὰ τοῦ παλ παλλαδίου (sic) προηγούμενον ἀνελεῖν. ὁ δὲ κατὰ τὸ τῆς σελήνης φῶς τὴν κατ’ αὐτοῦ θεασάμενος τοῦ ἐπιφερομένου ξίφους σκιάν, συλλαμβάνει τε τὸν Ὀδυσσέα, καὶ τὰς χεῖρας τοῦδε συνδεῖ, προάγειν τε κελεύει, καὶ τύπτων αὐτοῦ πλατεῖ τῷ ξίφει τὸ μετάφρενον ἐπὶ τοὺς Ἕλληνας παραγίνεται. ἄλλως.

R 495b μάλιστα, ὡς νῦν, ἢ μάτην, ἢ κατὰ ἄλλον τρόπον. ἀποτεθρυμμένοι.

R 495e ἀπηγριωμένοι. εἴρηται κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν θρύων, ὅ ἐστι βοτάνη τις ἀγρία καὶ ἄγονος. βαναυσίας.

R 495e,bis οἶμαι βαναυσίας ἐνταῦθα κοινότερον λέγεσθαι τὰς κατὰ τὰς τέχνας ἀναστροφάς, ἀπὸ τῶν διὰ πυρὸς ἐργαζομένων τεχνῶν εἰρημένας· βαῦνος γὰρ ἡ κάμινος· οὐ μὴν βαναυσίαν ἐν τούτοις ἤτοι ἀπειροκαλίαν· ἣν ἀμφότερα μὲν οὕτως Ἀριστοτέλης ἐν τοῖς Νικομαχίοις ἠθικοῖς (1107 b, 19) καλεῖ, ἐν τοῖς μεγάλοις δὲ (1192 a, 37) σαλακωνίαν. ἔστι δὲ περὶ χρημάτων δαπάνας ὑπερβολή, ἔλλειψις δὲ μικροπρέπεια, ὧν μεγαλοπρέπεια μεσότης ἐστί. οὐ τὸ μὴ βούλεσθαι κτλ.

R 497e εἰπόντος Ἀδειμάντου ὅτι τέλος ἐχέτω τὰ περὶ τούτων, ὁ Σωκράτης φησὶν ὅτι κωλύομαι ὑπακοῦσαι σοι βουλόμενος, ἀλλ’ οὐ δύναμαι· ἔτι γὰρ δεῖ περὶ τῶν αὐτῶν λέγειν ἀναγκαίως. τοῦ Ἡρακλειτείου ἡλίου.

R 498a ( 1) Ἡράκλειτος ὁ Ἐφέσιος, φυσικὸς ὤν, ἔλεγεν ὅτι ὁ ἥλιος ἐν τῇ δυτικῇ θαλάσσῃ ἐλθὼν καὶ καταδὺς ἐν αὐτῇ σβέννυται, εἶτα διελθὼν τὸ ὑπὸ γῆν καὶ εἰς ἀνατολὴν φθάσας ἐξάπτει πάλιν, καὶ τοῦτο αἰεὶ γίγνεται. (2) Ἡράκλειτος Βαθέωνος, Ἐφέσιος, μεγαλόφρων γεγονὼς καὶ ὑπερόπτης παρ’ ὅντιν’ οὖν. οὗτος τὸ τοῦ ἡλίου ἔλεγεν εἶναι σχῆμα σκαφοειδὲς καὶ ὑπόκυρτον, καὶ τὴν ἔκλειψιν αὐτοῦ συ 〈μ〉 βαίνειν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. ἀλλὰ μὴν καὶ Ξενοφάνη τὸν Κολοφώνιον κατὰ σβέσιν τὴν ἡλιακὴν ἔκλειψιν λέγειν γίγνεσθαι φασίν, καὶ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἀνίσχειν αὐτόν. μειρακιώδη παιδείαν.

R 498b διὰ τῆς εἰωθυίας εἰρωνείας Σωκράτης νῦν λανθανόντως ὑποτίθεται ἡμῖν ὅτι δεῖ τοὺς νέους μειρακιώδη φιλοσοφίαν μανθάνειν. λέγει δὲ τὴν μαθηματικήν· οἰκεία γὰρ αὕτη τοῖς νέοις θεοῖς. καὶ γὰρ δι’ αὐτῆς τὰς κινήσεις τῶν νέων θεῶν διδασκόμεθα. ἡ δὲ διαλεκτικὴ τοῖς τοιούτοις ἀνδράσιν ἐπισφαλής. καὶ ὁ Πλωτῖνος τοιοῦτο λέγει τὸ παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως. προὔργου.

R 498d πλέον ὡς νῦν, ἢ συμφέρον. εἰς μικρόν.

R 498d,bis ἀντὶ τοῦ εἰς μέγαν, εἰρωνικῶς. τοιαῦτ’ ἄττα ῥήματα κτλ.

R 498e πικρὸν τὸ λέγειν ὅτι ἔργῳ μὲν τὰ νῦν λεγόμενα καλῶς οὐκ εἶδον οἱ πολλοί, ἀλλὰ “πολὺ μᾶλλον τοιαῦτα ῥήματα” εἶδον. καὶ γὰρ ὁ Θουκυδίδης, ἐπιπλήττων τοὺς Ἀθηναίους, λέγει (III

Eulogikon public reading copy · View original HTML at eulogikon.org

38) ὅτι "ὑμεῖς θεαταὶ μέν ἐστε τῶν λόγων, ἀκροαταὶ δὲ τῶν ἔργων." τὸ δὲ ἐξεπίτηδες ἀντὶ τοῦ ἐκ παρασκευῆς καὶ ἐπιμελίας πιθανῶς συντεθέντα. καὶ τὸ πολὺ μᾶλλον ἔμφασιν πολλὴν ἔχει τῆς τῶν πολλῶν ἀφροσύνης, καὶ τὸ ὡμοιωμένα ἀλλήλοις εἶναι τὰ τοιαῦτα ῥήματα καὶ οὐχὶ τοῖς οὖσιν ἐδήλωσεν διὰ τοῦ ἑξῆς, ὅτι ἄνδρα ὡμοιωμένον ἀρετῆς ἔργῳ πρῶτον, εἶτα λόγῳ, οὐκ εἶδον οἱ τοιοῦτοι. ἀπὸ τοῦ αὐτομάτου. [10]

R 498e,bis εἰρωνικῶς. ἡ γὰρ ἀλήθεια αὐτομάτως ὡς εἰπεῖν συνέρχεται· οὐ γὰρ ἀγράφῳ γραμματείῳ ἔοικεν ἡ ψυχή. ἑτέρᾳ τοιαύτῃ.

R 498e,ter ἀριστοκρατουμένῃ. τοῦ γνῶναι χάριν.

R 499a δεῖ πορίσασθαι ἐκ τούτων ὅτι ἡ τῆς ἀληθείας εὕρεσις αὐτὴ καθ' ἑαυτήν ἐστιν αἱρετὴ καὶ οὐ πρὸς ἄλλο σκοπεῖ, ἀλλὰ μόνον ἡ γνῶσις αὐτῆς ἀρκεῖ πρὸς εὐδαιμονίαν. κατήκοοι ( sic A F M: κατηκόῳ ci.

R 499b Schleiermacher). ἀντὶ τοῦ κατακουόμενοι. εὐχαῖς ὅμοια λέγοντες.

R 499c τοῦτο καὶ κενήν φασι μακαρίαν. ἀλλοίαν τοι φήσεις κτλ.

R 500a ὅτι εὐμετάβολον τὸ τῶν πολλῶν πλῆθος δηλοῖ καὶ Ὅμηρος ἀπεικάζων τὴν ὁρμὴν αὐτῶν κύμασι "παντοίων ἀνέμων" (B 397) καὶ τοῖς τοιούτοις. ἀλλὰ καὶ νῦν τοῦτο λέγει, ὅτι κἂν λόγῳ τίς αὐτοῖς ἐνδείξηται τὸν ἀληθῆ φιλόσοφον, κἂν αὐτῷ ἔργῳ τοιοῦτος ᾖ φαινόμενος, ῥᾳδίως ἂν πείσει αὐτούς, καὶ τοσούτῳ ῥᾷον ὅσῳ ἂν εἶεν πλείους. καὶ γὰρ οἱ πλείους μᾶλλον τῇ τῆς ὕλης ἀταξίᾳ ἀναλογοῦσι, καὶ μᾶλλον εὐάλωτοι πρὸς ἑκάτερα ἤπερ οἱ ὀλιγώτεροι. ἀμέλει. [5]

R 500a,bis ἀντὶ τοῦ τοιγαροῦν. οὐ προσῆκον ἐπεισκεκωμακότας.

R 500b οὐ προσηκόντως εἰσεληλυθότας. τί μήν; κατάφασιν δηλοῖ ἀντὶ τοῦ πῶς γὰρ οὔ; διὰ τί γὰρ οὔ; ἀποβλέποιεν.

R 501b οἱ ἀληθῶς φιλόσοφοι. ἐκεῖν'.

R 501b,bis τὸ ἐν τῇ φύσει. ἀπ' ἐκείνου.

R 501b,ter ἀπ' ἐκείνου τοῦ φύσει μιμούμενοι. τὴν φύσιν αὐτῶν.

R 501d τὴν φύσιν τῶν φιλοσόφων. οὕς τοὺς ἔξωθεν ἐπεισκεκωμακότας.

R 503a βασανιζόμενον. βασανιζόμενον οὐ τὸν αἰκιζόμενον καὶ τιμωρούμενον σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸν ἀνακρινόμενον καὶ ἐλεγχόμενον καὶ δοκιμαζόμενον ἢ διὰ λόγων ἢ πραγμάτων, οἷος τίς ἐστιν, ἀπὸ λίθου γένους τινὸς καλουμένου βασάνου, ᾧ τὸ καθαρὸν χρυσίον δοκιμάζεται. ὄκνος. [5]

R 503b ἀνάδυσις, εὐλάβεια, ἀναβολή. δυνατὴ ἡ τῶν ἀρχόντων φύσις.

R 504d ὧν διήλθομεν. ὅτε πρὸ ὀλίγου τὸ ἀνδρείκελον ἐνέγραφεν καὶ θεοείκελον ἐν τῷ πίνακι. ἐπεὶ ὅτι γε κτλ.

R 505a ἐντεῦθεν οἱ περὶ τοῦ ἀγαθοῦ λόγοι. ἀπειράκις γὰρ ἡ ἀΐδιος ψυχὴ ταῦτα καὶ ἤκουσεν καὶ ἐπελάθετο. πάλαι καταφανής.

R 506b τὸ πάλαι καταφανής· ἐξ ἀϊδίου γὰρ αἱ ψυχαὶ ἀλλήλας γιγνώσκουσι. διὰ τὸ ὀρεκτὸν εἶναι τὸν νοῦν καὶ τὴν ἐπιστήμην κατὰ φύσιν αὐταῖς, καὶ τὸ δοξαστὸν ὡς ἐπίκτητον ἀποπέμπεσθαι, οὐκ ἀποχρήσει αὐταῖς ἡ δόξα. παρ' ἄλλων. [5]

R 506d παρὰ τῶν κρειττόνων ἡμῶν γενῶν. καὶ μάλα ἀρκέσει.

R 506d,bis τὸ γὰρ θεῖον πᾶν οὐ μόνον αὐταρκὲς ἀλλὰ καὶ ἱκανόν. ὅπως μή.

R 506d,ter ἐλλειπὴς ἡ φράσις· τοῦτο δὲ ἔθος Ἀττικόν. λείπει γὰρ τὸ σκόπει ἤ τι τοιοῦτο. πλέον γάρ μοι φαίνεται κτλ.

R 506e

παρὰ τὴν τῶν καταδεεστέρων ἀνεπιτηδειότητα τὰ κρείττονα ἀδυνατοῦσιν ἐνεργεῖν. τῷ.

R 507c τίνι. οὐ πάνυ.

R 507c,bis ἀντὶ τοῦ οὐδαμῶς. ἆρ’ οὖν ὧδε πέφυκεν ὄψις κτλ.

R 508a,c1 [Start of a diagram] τἀγαθόν ἥλιος νοῦς ὄψις νοητά ὁρατά νοητὸς τόπος ὁρατὸς τόπος νοεῖσθαι ὁρᾶσθαι ἡλιακὸν φῶς νυκτερινὸν φέγγος ἀλήθεια εἰκός νόησις δόξα ὄν γενητόν ὁρᾶν ἀμβλυώττειν [End of a diagram] τὸν τοῦ ἀγαθοῦ ἔκγονον, ὃν τἀγαθὸν ἐγέννησεν. [5]

R 508b ἐντεῦθεν τὸ τοῦ θεολόγου Γρηγορίου. ὅτιπερ αὐτό κτλ.

R 508b,bis [Start of a diagram] τἀγαθὸν νοητόν νοῦς νοούμενα ἥλιος ὁρατόν ὄψις ὁρώμενα [End of a diagram] εὐφήμει.

R 509a σιώπα, μὴ ἀκαιρολόγει. γελοίως.

R 509c ( 1) τὸ γελοίως διὰ τὴν ὑπερβολήν. ἀσύγκριτον γὰρ τἀγαθὸν ἁπλῶς πρὸς πάντα. τὰ γὰρ κρείττονα ἡμῶν γένη διαπορθμεύουσι τὰ παρὰ θεῶν εἰς ἡμᾶς ἀγαθά. ἡ δὲ θεία ἀνάγκη τῇ θείᾳ βουλήσει ἡ αὐτή, καὶ ὅμοιον ἥ τε αἵρεσις τῷ κλήρῳ, καὶ τὸ ἑλέσθαι τῷ λαχεῖν, καὶ τὸ εἶναι τῷ ἐνεργεῖν, καὶ τὸ βούλεσθαι τῷ δύνασθαι, καὶ εἶναι ἁπλῶς ἐν θεῷ πάντα ἑνιαίως. (2) τὸ γελοίως ἤτοι ἐγκοσμίως. οἱ γὰρ νέοι καὶ ἐγκόσμιοι θεοὶ τοῦτο αἰνίττονται. παίγνιον γὰρ τὸ σωματικὸν πᾶν τοῖς νοητοῖς παραβαλλόμενον, τὸ δὲ παίζειν καὶ γελᾶν τῶν νέων οἰκεῖον. καὶ τὸ— ἄσβεστος δ’ ἄρ’ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσι περὶ τῶν ἐγκοσμίων εἴρηται θεῶν. ὁ γ’ οὖν Γλαύκων ἀναλογῶν ἐγκοσμίῳ προσώπῳ εἰκότως γελοίως λέγει. τὸ δὲ Ἄπολλον οἰκεῖον τῷ τε ἡλίῳ εἰς ταὐτὸν ἐρχομένῳ τῷ Ἀπόλλωνι, καὶ τῷ λέγοντι ἐπιγνόντι τὸν ἑαυτοῦ βασιλέα ἥλιον καὶ Ἀπόλλωνα τὸν αὐτόν. Ἄπολλον. [15]

R 509c,bis ἐπίφθεγμα θαυμαστικόν, ὡς τὸ Ἡράκλεις. ἐν μὲν τῷ ὁρωμένῳ κτλ.

R 509d ( in mg. α′). τὸ τοίνυν ἕτερον κτλ.

R 510a ( in mg. β′). ἦ τὸ μέν κτλ.

R 510b ( in mg. γ′). ἀλλ’ ἐπὶ τελευτήν κτλ.

R 510b,bis,c1 [Start of a diagram] γ′ μαθηματική ἐξ ὑποθέσεως ἐπὶ τέλος ἰοῦσα δι’ αἰσθητῶν εἰκόνων διάνοια δ′ διαλεκτική ἐξ ὑποθέσεως ἐπ’ ἀρχὴν ἰοῦσα ἀνυπόθετον δι’ αὐτῶν τῶν εἰδῶν νοῦς [End of a diagram] τὸ δ’ αὖ κτλ. [5]

R ad 510b,ter ( in mg. δ′ ). [Start of a diagram] ὁρατά δόξα ἥλιος σκιῶδες φυσικόν εἰκασία πίστις γένεσις νοητά νόησις τ’ ἀγαθόν μαθηματικόν θεολογικόν διάνοια ἐπιστήμη οὐσία [End of a diagram] Σχόλιον ἐκ τῶν Ἀρχύτου καὶ Βροντίνου καὶ Ἰαμβλίχου ἐπιτμηθέν κτλ. [5]

R 510d,bis non habet A. v. Hermann, pp. 350 sq. Μετὰ ταῦτα δή κτλ.

R 514a τάδε ἔνεστιν ἐν τῷ ἑβδόμῳ τῆς πολιτείας. α′. ε 〈ἰ〉 κὼν τῆς τῶν παιδευτῶν διαθέσεως. β′. ὅτι ἀριθμητικὴν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν παραδοτέον. γ′. τῷ προσέοικεν ἡ ἡμετέρα φύσις παιδείας τε πέρι καὶ ἀπαιδευσίας. ἀπείκασον κτλ. [5]

R 514a,bis α′. εἰκὼν τῆς τῶν παιδευτῶν διαθέσεως. ἰδέ.

R 514a,ter Ἀττικοὶ καὶ τὸ ἰδέ ὀξύνουσι καὶ τὸ λαβέ καὶ τὸ φαγέ, ὁμοίως τῷ ἐλθέ, εὑρέ, εἰπέ. γνωματεύοντα.

R 516e διακρίνοντα, διαγιγνώσκοντα ἀκριβῶς. τὴν μὲν δι’ ὄψεως κτλ.

R 517b,c1 δι’ ὄψεως φαινομένη ἕδρα πυρὸς ἐν αὐτῇ φῶς ἄνω ἀνάβασις καὶ θέα τῶν ἄνω δεσμωτηρίου οἴκησις ἡλίου δύναμις εἰς τὸν νοητὸν τόπον τῆς ψυχῆς ἄνοδος ἐνταῦθα.

R 517c ἐν τῷ νοητῷ. περὶ τῶν τοῦ δικαίου.

R 517d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκιαὶ δικαίου, ἡ γένεσις· ἀγάλματα δικαίου, ὁ οὐρανός, ἡ ψυχή, ὁ νοῦς. μετρίως.

R 518b ἀντὶ τοῦ ἐπιεικῶς, πάνυ. αἱ μὲν τοίνυν κτλ.

R 518d ὅτι αἱ μὲν ἄλλαι τρεῖς ἀρεταὶ ἐγγύς εἰσι σώματος· ἔθεσι γὰρ καὶ ἀσκήσεσι προσγίγνονται· ἡ δὲ φρόνησις ἐγγύς ἐστι τοῦ νοῦ καὶ τοῦ ἀϊδίου. μήτε τοὺς ἐν παιδείᾳ κτλ.

R 519c ση 〈μείωσαι〉 τί λέγει. ἐν μακάρων νήσοις.

R 519c,bis ὡς Πτολεμαῖος ὁ μέγας ἐν δ′ Γεωγραφουμένων (IV 5, 34) φησὶ τὰς μακάρων νήσους ἓξ τὸν ἀριθμὸν ἐν τῇ ἐντὸς Λιβύῃ κατὰ τὸ Ἀτ〈λ〉αντικὸν πέλαγος. μηχανᾶται.

R 519e μηχανᾶται ξυναρμόττων ὁ νόμος. τοιοῦτοι.

R 520b οἱ φιλόσοφοι. εἰ μὲν βίον κτλ.

R 520e ind. ad μέν. εἰ μὲν εὕροις, φησί, βίον ἀμείνω φιλοσόφου βίου. λέγοι δ’ ἂν θεοῦ μόνον· καὶ γὰρ θεὸς ἀμείνων φιλοσόφου μόνος. ἔχεις οὖν κτλ.

R 521b περὶ παιδευτικῶν νόμων δ′, ἢ περὶ μαθηματικῆς. ὀστράκου .

R 521c .. περιστροφή. παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. ἔστι δὲ καὶ ὄνομα παιδιᾶς. οὐκοῦν δεῖ κτλ.

R 521c,bis β′. ὅτι ἀριθμητικὴν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν παραδοτέον. τετεύτακεν.

R 521e πεπραγμάτευται, ἐπὶ πολὺ διατρίβει ἐν τῷ αὐτῷ, ἢ ἐπιστρεφῶς τι πράττει, ἢ ἐνεργεῖ, ἢ σπουδάζει, ἃ πάντα δυνατὸν ἐπὶ τοῦ παρόντος ἐκλαβεῖν. σημαίνει δὲ καὶ τὸ ἡσυχάζει, ἢ σκευωρεῖται, ἢ στραγ〈γ〉εύεται, ὅ ἐστι σκολίως (sic: l. σχολαίως) διάκειται· πρὸς τούτοις καὶ ταυτολογεῖ καὶ φλυαρεῖ· πολύσημος γὰρ ἡ λέξις ἥδε. οἷον τοῦτο τὸ κοινόν. [5]

R 522c α′ μάθημα. ἀριθμητική. δείκνυμι κτλ.

R 523a τίνα ἔστι τὰ νοητὰ καὶ τίνα τὰ αἰσθητὰ ἐφ’ ἑκατέρων; τὰ μέν κτλ.

R 523a,bis τὰ αἰσθητά. τὰ δέ κτλ.

R 523b τὰ ἐν τῇ διανοίᾳ. οὐ πάνυ.

R 523b,bis ἀντὶ τοῦ οὐδαμῶς. τὰ μὲν οὐ παρακαλοῦντα κτλ.

R 523b,ter τὰ αἰσθητὰ κρίνεται πράγματα αἰσθήσει οὐ παρακαλεῖ τὴν νόησιν· οὐκ ἐκβαίνει εἰς ἐναντίαν αἴσθησιν· οἷον δάκτυλος τῶν τριῶν ὁμοίως ἕκαστος. [5]

R 523b,ter,cl συγκεχυμένον ὁρατόν. νοήσει παρακαλεῖ· ἐκβαίνει καὶ ἅμα τοῖς ἐναντίοις ἐμπίπτει εἰς αὐτήν· μέγεθος καὶ σμικρότης αὐτῶν καὶ ἀριθμὸς καὶ τάξις· διωρισμένον νοητόν. [5]

R 525b τί μήν; κατάφασιν δηλοῖ, ἀντὶ τοῦ πῶς γὰρ οὔ; διὰ τί γὰρ οὔ; τοῦτό γε.

R 525d τὸ περὶ λογισμοὺς μάθημα. ἀναγκάζει.

R 525d,bis τὸ μάθημα. τοὺς .

R 525d,ter .. δεινούς. τοὺς ἀριθμητικούς. αὐτὸ τὸ ἕν.

R 525d,quat τὴν μονάδα τὴν παρὰ τοῖς μαθηματικοῖς. κερματίζῃς.

R 525e κατατέμνῃς. ὀξεῖς.

R 526b οἷος ἦν Θεαίτητος. μείζω πόνον κτλ.

R 526c ἴσως τοῦτο βούλεται λέγειν ὁ Πλάτων, ὅτι τῶν μετὰ πολλοῦ πόνου κατορθουμένων τεχνῶν οὐκ ἔστιν οὐδεμία τοιαύτη εὔκολος ὡς ἡ ἀριθμητική. δεύτερον δέ κτλ.

R 526c,bis β′ μάθημα, γεωμετρία. ὡς γὰρ πράττοντες κτλ.

R 527a ὅτι τὸ χρήσιμον τῆς γεωμετρίας οὐ πράξεως ἕνεκα ἀλλὰ γνώσεως, καὶ ταύτης οὐ τῶν αἰσθητῶν, ἀλλὰ τῶν ἀεὶ ὄντων, καὶ αὐτῆς τῆς τ’ ἀγαθοῦ ἰδέας. οὐ δέον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R 527b ἀντὶ τοῦ οὐ δεόντως, Ἀττικῶς. ὅλῳ καὶ παντί.

R 527c παροιμία ἐπὶ τῶν πάντῃ διαφερόντων· καὶ ἡ αἰτία εἴρηται (cf. ad Remp. 469 c supra). τί δέ; τρίτον.

R 527d γʹ μάθημα. ἀστρονομία. ἡδύς.

R 527d,bis εὐήθης· ἐκάλουν δὲ οὕτω καὶ τοὺς ὑπομώρους. ἑκάστου.

R 527d,ter ἑκάστου ἀνδρὸς τοῦ μανθάνοντος. τὸ ἑξῆς.

R 528a τὸ τῆς ἀστρονομίας. ἐπίπεδον .

R 528a,bis .. ἐν περιφορᾷ ὂν ... στερεόν. ἐπίπεδον, τὴν γεωμετρίαν φησίν, στερεὸν δὲ ἐν περιφορᾷ ὄν, τὴν ἀστρονομίαν. καθ’ αὑτό ind.

R 528b ad v. τὸ στερεομετρικόν. δευτέραν " " " γεωμετρίαν. τρίτην " " " στερεομετρίαν. τοῦτο " " " τὸ διχῇ διάστατον, τὸ ἐπίπεδον. καὶ τὸ βάθους " " " τὸ τριχῇ διάστατον, σῶμα. δοκεῖ οὔπω κτλ. [5]

R 528b,bis ὅτι στερεομετρία οὔπω εὕρηται. κολουόμενα.

R 528c ἐμποδιζόμενα ὡς νῦν, ἢ ἐλαττούμενα. χάριτος.

R 528c,bis τέρψεως. ἀστρονομίαν.

R 528d περὶ ἀστρονομίας. γελοίως ἔχει.

R 528d,bis διὰ τὴν τῶν ζητούντων ὀλιγωρίαν. δίκην.

R 529c νῦν τιμωρίαν. Δαιδάλου.

R 529e Δαίδαλος ὁ Εὐπαλάμου καὶ Φρασιμήδης, ἀγαλματοποιὸς ἄριστος. τῷ ὄντι δή κτλ.

R 530a ὁ τῷ ὄντι, φησίν, ἀστρονομικὸς τὸν μὲν ὁρώμενον οὐρανὸν βλέπει τε 〈καὶ〉 θαυμάζει διὰ τῆς εὐτάκτου κινήσεως τὸν δημιουργόν, ἄτοπον δὲ ἡγήσαιτο ἐξονυχίζειν καὶ λιπαρῶς τοῖς φαινομένοις κεχηνέναι καὶ παντὶ τρόπῳ ζητεῖν τὰς κινήσεις αὐτῶν λεπτομερῶς. ἀντίστροφον αὐτοῦ. [5]

R 530d περὶ μουσικῆς, ἥ ἐστιν ἀντίστροφος ἀστρονομίας· ἡ μὲν γὰρ ὄψει, ἡ δὲ ἀκοῇ πέπηγεν. λέγει δ’ οὐ τὴν τοῦ ἀλόγου ἐπιμέλειαν, ἀλλὰ τὴν κατὰ Πυθαγόραν ἐν λόγῳ καὶ θεωρήματι. οἷ.

R 530e ὅπου. ἀφήκειν.

R 530e,bis ἀφικέσθαι. κολλόπων.

R 531b κολλόπων· κολάβων. οὕτω δὲ λέγονται τὰ τῶν χορδῶν ἐπιτόνια, περὶ ἃ είλοῦνται (sic: l. εἴλυνται) αὗται. τὸ γὰρ νωτιαῖον τοῦ τραχήλου τοῦ βοὸς μέρος κόλλοψ καλεῖται, διὰ τὸ είς κόλλαν εὐθετεῖν. τοῦ προοιμίου κτλ.

R 531d γʹ. περὶ τοῦ νόμου τοῦ κατὰ τὴν διαλεκτικὴν δύναμιν καὶ ὅτι τούτῳ προσέοικεν ἡ ἡμετέρα φύσις παιδείας τε πέρι καὶ ἀπαιδευσίας. ἐλέγομεν.

R 532a ὅτε ἀ〈ν〉ωτέρω ἐκ τοῦ σπηλαίου ἀνῆγε τὸν [λυ] λυθέντα δεσμώτην ἵνα τὸ φῶς ἴδῃ καὶ τὸν ἥλιον αὐτὸν ὕστερον. τῷ διαλέγεσθαι ἐπιχειρῇ.

R 532a,bis,[1] [Start of a diagram] μάθημα ἕξις διαλεκτική τἀγαθόν ὄψις ἥλιος [End of a diagram] [Start of a diagram] κόσμος ε〈ἰ〉κασία γένεσις μαθηματικά νοητά σπήλαιον σκιαί εἴδωλα ἐν ὕδασι φαντασία φῶς [End of a diagram] λέγε οὖν κτλ. [5]

R 532d τῶν παιδευτικῶν νόμων θʹ, ἡ περὶ διαλεκτικῆς. διαλεκτική.

R 533c διαλεκτικὴν τὴν διακριτικὴν τῆς πραγματικῆς, οὐ τὴν νῦν λεγομένην. δέονται δέ κτλ.

R 533d ὅτι τὰς μαθηματικὰς μεθόδους οὐκ ἀξιοῖ ἐπιστήμας καλεῖν, ἀλλὰ μόνην τὴν ἀνυπόθετον. πρώτην ind.

R 533e

ad v. τὴν τῶν νοητῶν. δευτέραν " " τὴν τῶν μαθηματικῶν. τρίτην " " τὴν τῶν φυσικῶν. τετάρτην " " τὴν τῶν τεχνικῶν. περὶ γένεσιν κτλ.

R 534a ( sine ind.). [Start of a diagram] ΝΟΗΣΙΣ α′ ἐπιστήμη ΟΥΣΙΑ β′ διάνοια ΔΟΞΑ ∫ γ′ πίστις ΓΕΝΕΣΙΣ δ′ εἰκασία γεωμετρικὴ ἀναλογία σύνθεσις λόγου διαίρεσις λόγου [End of a diagram] τὸν λόγον ἑκάστου κτλ.

R 534b τίς ὁ διαλεκτικός. ἐπικαταδαρθάνειν ( sic A 2 F D M: ἐπικαταδαρθεῖν Burnet e Stobaeo).

R 534d ἐπικατακοιμίζεσθαι. θριγκός.

R 534e περίφραγμα, στεφάνη, τειχίον, περίβολος. διανομὴ τοίνυν κτλ.

R 535a ποίους δεῖ τοὺς ἄρχοντας εἶναι τοὺς φύλακας. δριμύτητα.

R 535b ὀξύτητα, σφοδρότητα, θερμότητα, ταχυτῆτα. ἄρρατον.

R 535c ἰσχυρόν, στερεόν, ἢ δυσκίνητον. οἱ δὲ ἄρχουσι.

R 536a οἱ ἰδιῶται. προπεπηλακισμένην.

R 536c ὑβρισμένην, ἠδικημένην, διασεσυρμένην, ἐξουθενημένην. Σόλωνι.

R 536d τούτου γὰρ τὸ— αἰεὶ γηράσκω πολλὰ διδασκόμενος (fr. 22, Diehl). νέων δὲ πάντες κτλ.

R 536d,bis ὅτι νέων τὸ μανθάνειν καὶ οὐχ ὡς Σόλων φησὶ γερόντων. ψυχῇ δὲ βίαιον κτλ.

R 536e ὅτι οὐ βίᾳ παραδοτέον τὰ μαθήματα ὡς τὰ τοῦ σώματος. εἰς ἀριθμόν.

R 537a ὡς Ὅμηρος (λ 449)· “ἐν (sic: l. μετ’) ἀνδρῶν ἵζει ἀριθμῷ.” μέλειν τὸ μηδέν.

R 538c φροντίζειν κατὰ μηδέν. τὸ μὴ νέους ὄντας κτλ.

R 539b ὅτι οὐ δεῖ νέους ὄντας ἐριστικῶν ἅπτεσθαι. ὁ δὲ δὴ πρεσβύτερος κτλ.

R 539c χρηστομαθές (?) (compendio) παραίνεσις καὶ ὑποθήκη. ἀμέλει.

R 539e τοιγαροῦν. τὰς ἀρχούσας.

R 540c ση 〈μείωσαι〉 τὰς ἀρχούσας γυναῖκας. τρόποισι.

R 541a ἤθεσι. ἅδην.

R 541b ἅλις ἢ εἰς κόρον, ἱκανῶς, ἀρκού〈ν〉τως. Εἶεν κτλ.

R 543a τάδε ἔνεστιν ἐν τῷ ὀγδόῳ τῆς Πολιτείας· α′. διὰ τίνας αἰτίας, ὑπὸ τίνων αἱ πολιτεῖαι εἰς ἀλλήλας μεταβάλλουσιν. β′. περὶ τῆς φθορᾶς τῶν ἐπὶ γῆς ζῴων αἰνίττεται, οὗ ἀρχή· θείῳ μὲν γενητῷ (sic) περίοδος, ἣν ἀεὶ θεὸς περιλαμβάνει. γ′. ὅτι τὴν μεταξὺ λύπης καὶ χαρᾶς διάθεσιν ἡδονὴν πολλοὶ καλοῦσι, κατ’ αὐτὴν τὴν ἀλυπίαν. ἀλλ’ οὖν δή κτλ.

R 544a ἀνατρέχει μετὰ τὴν παρέκβασιν ἐπὶ τὰς ἡμαρτημένας πόλεις· εἰρήκει δ’ ὅτι μία μέν ἐστιν ἀρίστη ἀριστοκρατία, δ′ δὲ φαῦλαι, τιμαρχία, ὀλιγαρχία, δημοκρατία, τυραννίς· ὥστε καὶ ἀνθρώπων πέντε κατασκευαὶ ἠθῶν· ἐντεῦθεν γὰρ καὶ αἱ πόλεις ἐφελκυσάμεναι εἰσεδύσαντο· αἱ δ’ ἄλλαι πολιτεῖαι, αἵτινες καί εἰσι δυναστεῖαι καὶ ὠνηταί, μεταξὺ τούτων εἰσίν. ὥσπερ παλαιστής.

R 544b ἔθος γὰρ τούτοις, ὅταν πέσωσιν ὁμοῦ, ὡς μηδένα ἐπιπεσεῖν τοῦ λοιποῦ, πάλιν ἐγερθέντας ἐφ’ ὁμοίῳ συμπλεκῆναι σχήματι, ὅπερ τὴν αὐτὴν εἶπε λαβήν. ἥ τε ὑπὸ κτλ.

R 544c ( in mg. α′). καὶ δευτέρα κτλ. ( in mg. β′). ἥ τε ταύτῃ κτλ. ( in mg. γ′). καὶ ἡ γενναία κτλ. ( in mg. δ′). ὑπὸ τῶν πολλῶν.

R 544c,bis ὅτι πολιτεῖαι ἐπαινεταὶ ἥ τε Κρητικὴ καὶ ἡ Λακωνική. καὶ ἀνθρώπων εἴδη.

R 544d ὅτι τρόπων ἀνθρωπίνων εἴδη ὅσα καὶ πολιτειῶν. ἐκ δρυός ποθεν ἢ ἐκ πέτρας.

R 544d,bis τὸ ἐν τῇ τ′ τῆς Ὀδυσσείας Ὁμήρου (163) ὑπὸ Πηνελόπης ῥηθὲν Ὀδυσσεῖ ἀναγνωριζομένῳ αὐτῇ ἐνταῦθα ἐπὶ τῶν πολιτειῶν παρῳδεῖται. ἔστι δὲ τὸ— οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ πέτρης. οἱ γὰρ παλαιοὶ ἐκ δρυῶν καὶ πετρῶν τοὺς πρὸ αὑτῶν γεννηθῆναι ὑπελάμβανον, διὰ τὸ τὰς τικτούσας εἰς στελέχη καὶ σπήλαια τὰ βρέφη ἐκτιθέναι, ἐπεὶ καὶ τὰς μίξεις κατὰ τὰς ἐρημίας ἐποιοῦντο οἱ πάλαι ἄνθρωποι, δρυῶν ἢ πετρῶν πλησίον. φέρε τοίνυν κτλ.

R 545c α′. διὰ τίνας αἰτίας καὶ ὑπὸ τίνων αἱ πολιτεῖαι εἰς ἀλλήλας μεταβάλλουσιν. ὅτι πᾶσα πολιτεία κτλ.

R 545d ὅτι αἱ μεταπτώσεις τῶν πολιτειῶν κατ’ αὐτοὺς τοὺς ἔχοντας τὰς ἀρχὰς γίγνονται. πρῶτον στάσις ἔμπεσε.

R 545e πρωτ ο εμπε. δοῖς (sic). ὧδέ πως κτλ.

R 546a ( sine ind.). ιθ (sic). περὶ μεταπτώσεως τῶν κατὰ τὸν ἄδικον. τὸν ἅπαντα μενεῖ χρόνον.

R 546a,bis εἰ ὁ πᾶς χρόνος αἰῶνός ἐστι τοῦ παντὸς εἰκών· λέγεται γὰρ καὶ ὁ αἰὼν πᾶς. τὸ μὲν οὖν παράδειγμα τὸν ἅπαντα αἰῶνά ἐστι, μέτρον δὲ ὁ πᾶς αἰών, μέτρον ἄρα καὶ ὁ πᾶς χρόνος. ἀλλ’ ὁ μὲν τῆς τοῦ νοητοῦ ζωῆς μέτρον, ὁ δὲ τῆς τοῦδε τοῦ κόσμου ζωῆς, ὁ χρόνος. καὶ εἴη ἂν τῆς τῶν ἐν αὐτῷ πάντων ἀσωμάτων κινήσεων καὶ σωματικῶν πασῶν κοινῆς συναποκαταστάσεως μέτρον παντελές, ὃ δὴ πολλάκις συνελισσόμενον ποιεῖ τὸν ἄπειρον χρόνον. ἐγγείοις.

R 546a,ter τὰ φυτὰ διέστησεν τῶν ζῴων οὐ τῷ αἰσθητικῷ περιπατητικῶς· οἶδε γὰρ καὶ φυτῶν αἴσθησιν· ἀλλὰ τῷ μονίμῳ, τοῦτ’ ἐστὶ τῷ ἐγγείῳ, ὡς κατερριζωμένῳ ἐν γῇ, τὰ δὲ τῷ πορευτικῷ, ὅ ἐστι τῷ ἐπιγείῳ, ὡς φερομένῳ ἐπὶ γῆς. ἀλλὰ πάρεισιν αὐτούς κτλ.

R 546b σπα (i.e. συμπέρασμα). θείῳ .

R 546b,bis .. γεννητῷ. θεῖον γενητὸν οὐ τὸν ὅλον φησὶ κόσμον, εἰ καὶ προηγουμένως τοῦτον, οὔτε τὸν οὐρανὸν μόνον οὔτε τὸ ὑπὸ σελήνην, ἀλλὰ πᾶν τὸ ἀεικίνητον καὶ περιφερόμενον, εἴτ’ ἐν οὐρανῷ εἴθ’ ὑπὸ σελήνην, ὡς μὲν σωματικὸν γενητὸν καλούμενον· οὐδὲν γὰρ σῶμα αὐθυπόστατον· ὡς δ’ ἀεικίνητον, θεῖον· μιμεῖται γὰρ τὰ θειότατα τῶν ὄντων ἄγρυπνον ἔχοντα ζωήν. τὸν τέλειον δὲ ἀριθμὸν οὐ μόνον χρὴ νοεῖν ἐπὶ δακτύλων τιθέντας· οὗτος γάρ ἐστιν ἀριθμητὸν μᾶλλον ἢ ἀριθμός, καὶ τελειούμενος καὶ οὐδέπο 〈τε〉 τέλειος ἀεὶ γινόμενος· ἀλλὰ τὴν αἰτίαν τούτου νοερὰν μὲν οὖσαν, περιέχουσαν δὲ τὸν πεπερασμένον ὅρον τῆς τοῦ κόσμου πάσης περιόδου. προμήκη δέ.

R 546c στάσεως, ἦν δ’ ἐγώ.

R 547b περὶ τῆς ἀπ’ ἀριστοκρατίας εἰς τιμαρχίαν μεταβολῆς. οὐκοῦν τῷ μέν κτλ.

R 547d ἀριστοκρατίας ἴδια. τῷ δέ γε κτλ.

R 547e ὀλιγαρχίας ἴδια. μέμεικται γάρ κτλ.

R 548c τιμαρχίας ἴδιον. τίς οὖν ὁ κατά κτλ.

R 548d τίς καὶ ποῖος ὁ τιμοκρατικὸς ἀνήρ. γίγνεται δέ κτλ.

R 549c πῶς ὁ τιμοκρατικὸς γίνεται ἀνήρ. ὑμνεῖν.

R 549e μέμφεσθαι, λοιδορεῖσθαι, κατ’ εὐφημισμόν· σημαίνει δὲ καὶ ὀδύρεσθαι. αὖ τοὺς τοῦ κτλ.

R 550a ( sic F D M: αὐτοὺς A: αὐτοὺς τοὺς A 2 ). ὁ γὰρ πατὴρ πλησιαίτατος, ὡς σύνοικος. τῷ μέσῳ.

R 550b τῷ ἐν τῇ ἑαυτοῦ ψυχῇ. οὐκοῦν μετὰ τοῦτο κτλ.

R 550c περὶ ὀλιγαρχίας. τὴν ἀπὸ τιμημάτων.

R 550c,bis ( 1) ὅτι ἐκ τοῦ φιλοτίμου φιλόπολις γίνεται, ἀπὸ τιμημάτων οὐσῶν τῶν ἀρχῶν, ὡς Ῥωμαῖοι. (2) ἡ τῶν Ἀθηναίων πόλις εἰς μεγάλα μέρη διῃρεῖτο τέτταρα, ταῦτα δὲ πολιτικὰ τιμήματα ἐκάλουν, ἅπερ ἦν πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, θητικῶν· οἱ μὲν ὑπὲρ τοῦ φ′ μέτρα ξηρὰ καὶ ὑγρὰ ποιεῖν κληθέντες ἀνήλισκον εἰς τὸ δημόσιον τάλαντον· οἱ δὲ τὴν ἱππάδα τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν, ἐποίουν δὲ μέτρα τ′,

ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγίσιον τελοῦντες ἀπὸ σʹ μέτρων διελέγοντο, ἀνήλισκον δὲ μνᾶς ιʹ· οἱ δὲ τὸ θητικὸν οὐδεμίαν ἀρχὴν ἦρχον οὐδὲ ἀνήλισκον. οὐκοῦν ὡς μεταβαίνει κτλ. [10]

R 550d περὶ τῆς ἀπὸ τιμαρχίας εἰς ὀλιγαρχίαν μεταβολῆς. φιλοχρηματισταί.

R 551a φιλοχρηματισταὶ οἱ φιλοῦντες πορίζειν χρήματα, φιλοχρήματοι δὲ οἱ φιλοῦντες χρήματα. ἀλλὰ τίς δή κτλ.

R 551b τίς ὁ τῆς ὀλιγαρχίας τρόπος, ποῖά τε τὰ ταύτης ἁμαρτήματα. πρῶτον μέν κτλ.

R 551c ( in mg. αʹ). τί δέ; τόδε κτλ.

R 551d ( in mg. βʹ). ἀλλὰ μήν κτλ.

R 551d,bis ( in mg. γʹ). τί δέ; ὃ πάλαι κτλ.

R 551e ( in mg. δʹ). τὸ ἐξεῖναι κτλ.

R 552a ( in mg. εʹ). κηφήν (κηφῆν A).

R 552c εἶδος μελίσσης ἀκέντρου ὃ κατεσθίει τὸ μέλι μόνον, ἀργὸν δέ· ἀφ’ οὗ καὶ τοὺς μηδὲν δυναμένους δρᾶν οὕτω φασίν. ἐνίους.

R 552c,bis τοὺς ἐν τῇ ὀλιγαρχίᾳ δυναστάς. ἆρ’ οὖν ὧδε κτλ.

R 553a πῶς ὁ τιμοκρατικὸς εἰς ὀλιγαρχικὸν μεταβάλλει. γλίσχρως.

R 553c πάνυ ῥυπαρῶς καὶ μετὰ φειδωλίας. ἆρ’ οὐκ οἴει .

R 553c,bis .. εἰς κτλ. ὅτι τὸ θυμοειδὲς ἐν τῷ τιμοκρατικῷ ἄρχει, ἐν δὲ τῷ ὀλιγαρχικῷ τὸ ἐπιθυμητικὸν καὶ φιλοχρήματον. τιάρας.

R 553c,ter τιάρα ἐστὶν ἡ λεγομένη κυρβασία. ἔστι δὲ κόσμος ἐπικεφάλαιος ᾗ οἱ Περσῶν βασιλεῖς μόνοι ὀρθῇ ἐχρῶντο, οἱ δὲ στρατηγοὶ κεκλιμένῃ. Ἡρόδοτος δὲ ἀρσενικῶς τὸν τιάραν φησί (I 132). τινὲς δὲ καὶ κίταριν λέγουσι τὸ αὐτό· Θεόφραστος δ’ ἐν τῷ περὶ βασιλείας Κυπρίων εἶναι λέγει τὴν κίταριν. στρεπτοὺς καὶ ἀκινάκας. [5]

R 553c,quat ὅρμους περὶ τὸν τράχηλον ἢ τὰς χεῖρας, οὓς καὶ “στεφάνους χειρῶν” λέγει Ἴων ἐν Φρουροῖς (T G F fr. 48). ἀκινάκαι ( sic) δὲ Περσικόν τι ξίφος, ἢ δόρυ μικρὸν Περσικόν. ἆρ’ οὖν οὗτος κτλ.

R 553e ση〈μείωσαι〉 ὅτι ὁ φιλοχρήματος ὀλιγαρχικός. αὐχμηρός.

R 554a στυγνός, σκοτεινός. τυφλόν.

R 554b τὸν Πλοῦτον, οἶμαι, φησί. οὐ πείθων.

R 554d ἑαυτὸν δῆλον ὅτι, οὐδὲ ῥυθμίζων τὰ τῆς ψυχῆς αὑτοῦ μόρια, καὶ διὰ τὸ ἄμεινον ἐπιτηδεύων τὴν ἀρετήν. δημοκρατίαν δή κτλ.

R 555b περὶ δημοκρατίας. οὐκοῦν, ἦν δ’ ἐγώ, κτλ.

R 555b,bis περὶ τῆς ἀπὸ ὀλιγαρχίας εἰς δημοκρατίαν μεταβολῆς. ἐπιεικῶς.

R 555d τὸ ἐπιεικῶς ἐπίρρημα σημαίνει τὸ πάνυ, ἔτι δὲ τὸ παραδόξως, τὸ παρ’ ἐλπίδα, τὸ μετ’ ἐπιεικείας, καὶ τὸ μετρίως καὶ ἱκανῶς. οὔτε γ’ ἐκείνῃ.

R 556a οὔτε διδάσκοντες λόγῳ, φησί, τοὺς νέους εἴργουσιν ἀκολασταίνειν, οὔτε βίᾳ κολάζοντες. θεωρίας.

R 556c ἑορτάς, ἀπὸ τῆς εἰς θέαν συνδρομῆς τῶν ἐν αὐταῖς τελουμένων παρηλλαγμένως τοῖς κατὰ τὸν ἄλλον τοῦ βίου χρόνον γιγνομένοις λεγομένας οὕτως. οἴει αὐτὸν οὐχ κτλ.

R 556d τὸν πένητα, οἶμαι. οὕτω καὶ αὕτη κτλ.

R 557c ὅτι πάντα τὰ γένη τῶν πολιτειῶν ἐν δημοκρατίᾳ. ὡς μεγαλοπρεπῶς κτλ.

R 558b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ καταφρόνησις τῶν ἀγαθῶν ἀνδρῶν. ἄθρει κτλ.

R 558c τίς ὁ δημοκρατικὸς ἀνήρ. χρηματιστικαί.

R 558d χρημάτων ποριστικαί. βούλει οὖν κτλ.

R 558d,bis [Start of a diagram] τῶν ἐπιθυμιῶν αἱ μὲν ἀναγκαῖαι αἱ δὲ οὐκ ἀναγκαῖαι ὠφέλιμοι οὐκ ὠφέλιμοι αἱ μὲν οὐδὲν ἀγαθὸν δρῶσιν αἱ δὲ κακὸν πᾶν [End of a diagram] αἴθωσι.

R 559d ὀξέσι τὴν ὁρμήν. Λωτοφάγους.

R 560c ( 1) τοὺς ψευδεῖς καὶ ἀλαζόνας λόγους καὶ δόξας, δῆλον ὅτι ἀλληγορικῶς. (2) ὁ λῶτος δένδρον ἐστὶν ἐν Λιβύῃ κατὰ τὴν Μέμφιν φυόμενον, εὐμέγεθες, ἡλίκον ἄπιος ἢ μικρῷ ἔλαττον· φύλλον δὲ ἐντομὰς ἔχον καὶ πρινῶδες· τὸ δὲ ξύλον μέλαν. γένη δὲ αὐτοῦ πλείω, διαφορὰς ἔχοντα τοῖς καρποῖς. ὁ δὲ καρπὸς ὥσπερ κύαμος· πεπαίνεται δὲ ὥσπερ οἱ βότρυες μεταβάλλον τὰς χρόας. φύεται δὲ καθὰ τὰ μύρτα παράλληλα πυκνὸς ἐν τοῖς βλαστοῖς. ἐσθιόμενος δὲ ἐν τοῖς Λωτοφάγοις καλουμένοις γλυκύς ἐστι καὶ ἡδὺς καὶ ἀσινής, καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθός· ἡδίων δ’ ὁ ἀπύρηνος. ποιοῦσι δὲ καὶ οἶνον ἐξ αὐτοῦ. τὸ δένδρον δὲ καὶ πολύκαρπον, καὶ παρὰ τὴν Λωτοφαγίδα νῆσον, ἀπέχουσαν τῆς χώρας μικρὸν ὡσαύτως. καὶ τὴν μὲν αἰδῶ κτλ.

R 560d,c1 [Start of a diagram] αἰδώς σωφροσύνη μετριότης κοσμιότης ἠλιθιότης ἀνανδρία ἀγροικία ἀνελευθερία [End of a diagram] ὕβριν μέν κτλ.

R 560e,c1 [Start of a diagram] ὕβρις ἀναρχία ἀσωτία ἀναίδεια εὐπαιδευσία ἐλευθερία μεγαλοπρέπεια ἀνδρεία [End of a diagram] ἐκβακχευθῇ.

R 561a ἐκμανῇ. ἡ καλλίστη δή κτλ.

R 562a περὶ τυραννίδος. φέρε δή κτλ.

R 562a,bis περὶ τῆς ἐκ δημοκρατίας εἰς τυραννίδα μεταβολῆς. ἡ πλούτου τοίνυν κτλ.

R 562b ὅτι ἡ μεταβολὴ ἐξ ἀπληστίας τοῦ ἐν ἑκάστῳ δοκοῦντος ἀγαθοῦ εἶναι· οἷον ἐξ ἀπληστίας πλούτου ἡ ὀλιγαρχία γίνεται δημοκρατία, οὕτως ἐξ ἀπληστίας ἐλευθερίας τυραννίς. ὀλιγαρχία δημοκρατία πλοῦτος ἐλευθερία ἀγαθά μέτοικον.

R 562e μέτοικός ἐστιν ὁ ἐνοικῶν ξένος πᾶς ἐν τῇ πόλει, καὶ τελῶν ἕκαστος ἀνὰ δραχμὰς ιβʹ τοῦ ἐνιαυτοῦ εἰς τὸ δημόσιον καὶ τριώβολον τῷ γραμματεῖ. εὐτραπελίας.

R 563a εὐτραπελία ἐστὶν ἕξις τις ἐν μεσότητι θεωρουμένη βωμολοχίας καὶ ἀγροικίας· ἔστι δὲ περὶ σκώμματα ἣ τὸν ἔχοντα παρέχεται δύνασθαί τε σκῶψαι ἐμμελῶς ἢ ὑπομένειν σκωπτόμενον. βωμολοχία δὲ ἡ πάντα καὶ πάντας οἰομένη δεῖν σκώπτειν· ἀγροικία δὲ ἡ μήτε σκώπτειν μήτε σκωφθῆναι βουλομένη, ὀργιζομένη δὲ ἐπ’ ἀμφοῖν. χαριεντισμοῦ.

R 563a,bis χαριεντισμός ἐστι σκῶμμα μετὰ τέρψεως καὶ χάριτός τινος. ἐνταῦθα.

R 563c ἐν τῇ ἀκράτῳ ἐλευθερίᾳ. αἵ τε κύνες κτλ.

R 563c,bis ση〈μείωσαι〉 τὴν παροιμίαν, αἱ κύνες οἷαί περ αἱ δέσποιναι, ἐπὶ τῶν ὁμοιουμένων πάντων ἀρχομένων τοῖς αὐτῶν ἄρχουσι. ἔστι δὲ ἡ ὅλη— οἵα περ ἡ δέσποινα, τοία χ’ ἡ κύων. οὐδὲ τῶν νόμων φροντίζουσιν.

R 563d ὅτι ἡ ἄγαν ἐλευθερία οὐδὲ νόμου δεσπότου ἀνέχεται. τὸ ἄγαν τι ποιεῖν κτλ.

R 563e ὅτι τὸ ἄγαν τι ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι. τὸ μὲν ἀνδρειότατον κτλ.

R 564b δύο κηφήνων εἴδη φησὶν ἐν ταῖς πολιτείαις, ἀργῶν καὶ δαπανηρῶν ἀνδρῶν, τὸ μὲν ἀνδρεῖον καὶ κεκεντρωμένον, οἷον χολὴ ἐν σώματι, τὸ δ’ ἄκεντρον οἷον φλέγμα. οὗτοι δριμύτεροί εἰσιν ἐν δημοκρατίᾳ, ὡς ἂν καὶ ἄρχειν εἰθισμένοι. ἓν μὲν γάρ που κτλ.

R 564d ( in mg. αʹ). ἄλλο τοίνυν ( in mg.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R 564e β′). δῆμος δ’ κτλ.

R 565a ( in mg. γ′). ( sine ind.

R 564d,bis ). [Start of a diagram] τὰ ἐν δημοκρατίᾳ τρία εἴδη τὸ προεστὸς αὐτῆς καὶ περὶ τὸ βῆμα προσίζον τὸ τῶν πλουσίων καὶ κοσμίων ὅ ἐστι κηφήνων βοτάνη τὸ δημῶδες ὑπὸ τῶν προεστώτων ὑποποιούμενον διὰ τῆς τῶν πλουσίων τοῦ πλούτου διανομῆς [End of a diagram] βλίττει.

R 564e,bis ἀφαιρεῖ τὸ μέλι ἀπὸ τῶν κηρίων. εἰσαγγελίαι.

R 565c εἰσαγγελία ἐστὶ κυρίως ἡ περὶ καινῶν καὶ δημοσίων ἀδικημάτων εἰσαγομένη δίκη ὑπὸ τῶν πρυτάνεων, περὶ ὧν διαρρήδην μὲν οὐδὲν λέγουσιν οἱ νόμοι, συγχωροῦσι δὲ κρίσεις γίγνεσθαι. καὶ τοῦτό ἐστιν οἷον τὸ ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς μελετώμενον, τὸ τῶν ἀγράφων ἀδικημάτων. ἦ δῆλον ὅτι κτλ.

R 565d πῶς ἐκ προστάτου γίνεται τύραννος. τῷ ἐν τῷ μύθῳ κτλ.

R 565d,bis τὸν μῦθον ση〈μείωσαι〉 περὶ τῆς ἐν Ἀρκάσιν ἀνθρωποθυσίας. τὸ δὴ τυραννικόν κτλ.

R 566b τοῦτο Πεισιστράτου. Ἀθηναῖος γὰρ οὗτος ὤν, ἐπιβουλεύων τυραννίδι κατὰ τῶν πολιτῶν, πολλαῖς καὶ χαλεπαῖς πληγαῖς ἑαυτὸν κατατρώσας, ἐνεδείξατο τοῖς Ἕλλησιν ὡς ὑπὸ τῶν ἐχθρῶν ταύτας πάθοι, καὶ ᾔτησεν φύλακας τοῦ ἑαυτοῦ σώματος, καὶ ἔλαβε τριακοσίους δορυφόρους ἐκ τῆς πόλεως, οὓς εἰσοικισάμενος καὶ θεραπεύσας ἐτυράννησεν Ἀθηναίων. πολυψήφιδα κτλ.

R 566c Κροῖσος υἱὸς Ἀλυάττου, Λυδὸς γένος, βασιλεὺς τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς περὶ τῆς ἀρχῆς, εἰ πολυχρόνιος ἔσται, χρηστηριαζόμενος, ἀνεῖλεν ὁ Ἀπόλλων χρησμὸν τοιοῦτον αὐτῷ— ἀλλ’ ὅτ’ ἂν ἡμίονος βασιλεὺς Μήδοισι γένηται, καὶ τότε, Λυδὲ πόδαβρε (sic) πολυ μελαμ ψηφίδα (sic) παρ’ Ἕρμον φεύγειν, μὴ δὲ μένειν, μηδ’ αἰδεῖσθαι κακὸς εἶναι. καὶ οὗτος μὲν ὁ ὅλος χρησμός· ἡμίονον δὲ τὸν Κῦρόν φησιν, ἐπείπερ Ἀρυήνης τῆς Ἀλυάττου θυγατρός, Λυδῆς οὔσης αὐτῆς, καὶ Ἀστυάγους τοῦ Μηδῶν βασιλέως Μανδάνη γίγνεται παῖς, ταύτης δὲ καὶ Καμβύσου, Πέρσου τινός, ὁ Κῦρος υἱός, ὁ καθελὼν Κροῖσον τε καὶ δὴ καὶ αὐτὴν τὴν βασιλείαν Λυδῶν. μέλλει.

R 566d ἔοικεν, φαίνεται, δοκεῖ, ὡς νῦν. παρὰ δὲ Σοφοκλεῖ ἐν Τρωΐλῳ (fr. 633 Pearson), μένει. οὐ ταῖς μὲν πρώταις κτλ.

R 566d,bis ὁποῖος ὁ τύραννός ἐστι κατ’ ἀρχάς. ἐνδοὺς .

R 567a .. ἕτοιμον μᾶλλον. ἔν τισι δος (sic). τὸ μᾶλλον αὐξητικόν. οὐκ ἐτός (ἔτος A; ἐτῶς A 2 ).

R 568a ὁτὲ μὲν οὐ μάτην, ὁτὲ δ’ οὐκ ἀλόγως· παρὰ τὸ ἐτώσιον, ὅ ἐστι τὸ μάταιον, οἱ δὲ οὐκ εἰκότως. σοφοὶ τύραννοι κτλ.

R 568b ( sine ind.). τοῦτο Σοφοκλέους ἐστὶν ἐξ Αἴαντος τοῦ Λοκροῦ (fr. 12 Pearson). ἐνταῦθα δὲ Εὐριπίδου λέγεται τὸ ἰάμβιον εἶναι, καὶ θαυμαστὸν οὐδὲν εἰ συμπίπτοιεν ἀλλήλοις οἱ ποιηταί. καλὰς φωνάς.

R 568c τὰς τῶν ὑποκριτῶν. Αὐτὸς δὴ λοιπός κτλ.

R 571a ( sine ind.). περὶ τῆς ἀπὸ δημοκρατικοῦ εἰς τυραννικὸν ἄνδρα μεταβολῆς. βοηθοῦντά τε.

R 572e τὸ τίθει ἀπὸ κοινοῦ. ἔρωτά τινα κτλ.

R 572e,bis ἀπὸ κοινοῦ τὸ τίθει μηχανωμένους αὐτῷ ἔρωτα, ὅταν ἐλπίσωσι μὴ ἄλλως τὸν νέον, ὑπόπτερον ὄντα κηφῆνα καὶ μέγαν, καθέξειν. σὺ καὶ ἐμοὶ ἐρεῖς.

R 573d παροιμία· σὺ καὶ ἐμοὶ ἐρεῖς· ἡνίκα τις ἐρωτηθεείς τι ὑπὸ γινώσκοντος τὸ ἐρωτηθέν, αὐτὸς ἀγνοῶν, οὕτως ἀποκρίνηται· “σὺ καὶ ἐμοὶ ἐρεῖς”. κῶμοι.

R 573d,bis ᾠδαὶ ἢ ὀρχήσεις μετὰ μέθης. πληγαῖς.

R 574c ση〈μείωσαι〉 τὴν σύνταξιν, “πρεσβύτην πατέρα πληγαῖς τε δοῦναι”. νεωκορήσει.

R 574d ἀντὶ τοῦ ἱεροσυλήσει, ὡς νῦν. παρὰ δὲ τοῖς πολλοῖς τὸ κοσμήσει τὸν ναόν· κορεῖν γὰρ σημαίνει τὸ κοσμεῖν. τὰς δικαίας.

R 574d,bis αἱ κακαὶ ἐπιθυμίαι. δορυφοροῦσαι.

R 574d,ter δικαίων δοξῶν αἱ κακαὶ φαντασίαι. ὑπὸ Ἔρωτος.

R 574e κακοῦ ἔρωτος. ὀλιγάκις.

R 574e,bis ὅτε εἴδωλα κακὰ ἐν τῇ φαντασίᾳ ἀνέπλαττεν. ἵκταρ.

R 575c ἴκταρ σημαίνει ταῦτα, τὸ ἐγγύς, ἀπὸ τοῦ ἱκνεῖσθαι, τὸ πρόσφατον, τὸ ἄρτι, τὸ ταχέως, τὸ πυκνῶς, τὸ ἐξαπίνης, καὶ παροιμία οὐδ' ἴκταρ ἥκει, ὥσπερ καὶ τὸ οὐδ' ἴκταρ βάλλει τοῦτ' ἔστιν οὐδὲ ἐγγύς ἐστιν. εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ διωλύγιον κακὸν σημαίνει τὸ μέγα, οὗ μνημονεύει Πλάτων ἐν τῷ Θεαιτήτῳ (162 a). μητρίδα. [5]

R 575d ση 〈μείωσαι〉 ὅτι τὴν πατρίδα Κρῆτες μητρίδα φασίν. πολλά.

R 576c ἀντὶ τοῦ ψεύδη· τὸ γὰρ ψεῦδος πολυχοῦν, “ἁπλοῦς δ' ὁ μῦθος τῆς ἀληθείας ἔφυ” (Eur. Phoen. 469). ὡς περὶ ὅλης εἰπεῖν κτλ.

R 577e τὸ γὰρ λογιστικὸν τῆς τοῦ τυράννου ψυχῆς, ὑπὸ θυμοῦ ἢ ἐπιθυμίας κρατούμενον, οὐ ποιεῖ ἃ βούλεται καθαυτό, ὥστε κ' ἂν κατὰ τὰ χείρονα μέρη ποιεῖ ἃ βούλεται ἡ ψυχή, ἀλλὰ κατὰ κρεῖττον μὴ ποιοῦσα αὐτῆς διὰ τοῦτο λέγεται, ἥκιστα ποιήσει ἃ ἂν βουληθῇ ὡς περὶ ὅλης εἰπεῖν τῆς ψυχῆς· καὶ γὰρ οὐχ ὅλη τότε ποιεῖ. καλῶς κριθήσεσθαι. [5]

R 582a [Start of a diagram] τὰ κριτήρια ἐμπειρία φρόνησις λόγος [End of a diagram] σκόπει δή κτλ. [5]

R 582a,bis ( in mg. α′). καὶ μὴν μετά γε κτλ.

R 582d ( in mg. β′). διὰ λόγων που κτλ.

R 582d,bis ( in mg. γ′). τὸ δὲ τρίτον ὀλυμπικῶς.

R 583b ἐκ μεταφορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους. Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι (fr. 425 Pearson). ἐκιρνῶντο γὰρ ἐν αὐταῖς κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Σωτῆρος, ὡς ἐνταῦθά τε, καὶ δὴ ἐν Φιλήβῳ (66 d). ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ (T G F fr. 148) καὶ Ἀριστοφάνης ἐν Τηγανισταῖς (fr. 526 Kock). νομίζεις τι, εἶπον, κτλ. [5]

R 584d [Start of a diagram] ἄνω ἡδονή μέσον ἄλυπον κάτω λύπη [End of a diagram] Στησίχορος.

R 586c ση 〈μείωσαι〉 τί περὶ Στησιχόρου λέγεται καὶ τοῦ τῆς Ἑλένης εἰδώλου. ἀπὸ τοῦ ὀλιγαρχικοῦ κτλ.

R 587c [Start of a diagram] βασιλικός α′ τιμοκρατικός β′ ὀλιγαρχικός γ′ δημοκρατικός θ′ τυραννος (sic) ς′ [End of a diagram] τριπλασίου ἄρα κτλ. [5]

R 587d εἰλήφθω κατὰ τὴν μονάδα αὐτὴν ὁ βασιλικός, κατὰ δὲ τὸν γ′ ὁ ὀλιγαρχικός, τῆς μονάδος πολλαπλασιασθείσης ἐπ' αὐτόν, κατὰ τὸν θ′ δὲ ὁ τυραννικός, τοῦ γ′ γεγονότος ἐφ' ἑαυτόν. τοῦ τριπλασίου ἄρα τῆς μονάδος τοῦ γ′, τοῦτ' ἐστὶ τοῦ ὀλιγαρχικοῦ τοῦ πρὸς τὸν βασιλικὸν ἀφεστῶτος τριπλάσιον, ὡσαύτως τριπλάσιον τῷ θ′ ἀριθμῷ ἀφέστηκεν ὁ τυραννικός. ἔστι δὲ οὗτος ἐπίπεδος ἀριθμὸς κατὰ τὸ μῆκος τὸν γ′, τὸ πλάτος τὸν γ′ καὶ αὐτὸν ὄντα, πολλαπλασιασθείς. εἴδωλον δὲ τὸν τυραννικόν φησι τοῦ βασιλικοῦ τὸ ἔσχατον, δύναμιν δὲ τὸν γ′ καλεῖ, ὅτι δὴ καὶ ἡ μονάς, καὶ αὐτὸς ὁ γ′ ἐφ' ἑαυτόν, καὶ ὁ θ′ κατ' αὐτὸν ἐπολλαπλασιάσθησαν, οὗ μὲν γ′, οὗ δὲ θ′, οὗ δὲ κζ′ ποιήσαντα. τρίτην δὲ αὔξην λέγει τὴν τοῦ θ′ ἐπὶ τὴν δύναμιν τὸν γ′ πολλαπλασίασιν, καὶ ποιήσασαν τὸν κζ′, τὸ βάθος ἤτοι στερεὸν ἀριθμόν. δευτέρα γὰρ ἦ 〈ν〉 ἡ ἀπὸ τοῦ γ′ ἐφ' ἑαυτὸν γενομένου, καὶ ποιήσαντος τὸν θ′, τὸ πλάτος ἤτοι τὸν ἐπίπεδον· ὥσπερ ἡ τῆς μονάδος ἐπὶ τὸν γ′ πολλαπλασίασις πρώτη αὔξη τὲ ἦν καὶ τὸ μῆκος

ἐποίει αὐτό. τελεωθεῖσαν δὲ πολλαπλασίωσιν τὴν τοῦ κζ′ ἐφ' ἑαυτὸν γιγνομένην. αὕτη γὰρ ποιεῖ τὸν ψκθ′. Χιμαίρας .

R 588c .. Σκύλλης ... Κερβέρου. ἡ Χίμαιρα τὸ εἶδός ἐστι— πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα— τοῦτ' ἐστὶν αἴξ— δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο (Z 181) ἣν Ἡσίοδος μὲν (Theog. 319) Τυφῶνος καὶ Ἐχίδνης, Ὅμηρος δὲ (Π 328) τραφῆναι ὑπὸ Ἀμισωδάρου φασίν. Σκύλλα δὲ Κραταιΐδος καὶ Τυρρηνοῦ ἢ Φόρκου, πρόσωπον ἔχουσα καὶ στέρνα γυναικός, ἐκ λαγόνων δὲ κυνῶν κεφαλὰς ἓξ καὶ πόδας δώδεκα. ὁ δὲ Κέρβερος Ἅιδου μὲν κύων λέγεται εἶναι, εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, οὐρὰν δὲ δράκοντος, κατὰ τοῦ νώτου δὲ παντοίων ὄφεων εἶχε κεφαλάς. Ἐριφύλη.

R 590a Κάδμος ὁ Ἀγήνορος καὶ Τηλεφάσσης λαμβάνει μὲν γυναῖκα παρὰ Διὸς Ἁρμονίαν τὴν Ἄρεως καὶ Ἀφροδίτης, ὧν κατὰ τοὺς γάμους εὐωχοῦνται πάντες οἱ θεοί. Κάδμος δὲ παρὰ Ἡφαίστου πέπλον καὶ ὅρμον λαβὼν ἡφαιστότευκτον Ἁρμονίᾳ δῶρον γαμήλιον δίδωσιν. ὃς ὅρμος εἰς Πολυνείκην τὸν Κάδμου κατήχθη ἀπόγονον. οὗτος δὲ πρὸς Ἐτεοκλέα τὸν ἀδελφὸν περὶ τῆς Θηβῶν βασιλείας πόλεμον ἀράμενος ἄλλους τε πολλοὺς λαμβάνει συνεργούς, καὶ δὴ καὶ μάντιν ἄριστον, Ἀμφιάραον τὸν Ὀϊκλέους, πεισθέντα ὑπὸ τῆς γυναικὸς τῆς ἰδίας, Ἐριφύλης τῆς Ταλάου καὶ Λυσίππης, λαβούσης ἐπὶ τοῦτο δῶρον παρὰ Πολυνείκους τὸν ὅρμον· στρατευσάμενοι οὖν ἄλλοι μὲν ἄλλως ἀπώλοντο, Ἀμφιάραος δὲ φεύγων ἐποχούμενος ἅρματι παρὰ τὸν Ἰσμηνὸν κεραυνοῦται ποταμόν. καὶ διὰ τοῦτο λέγεται τὴν Ἐριφύλην ἐπὶ τῇ τοῦ ἀνδρὸς τὸν ὅρμον δέξασθαι ψυχῇ. τραγικῶν.

R 595c τῶν συμφορᾶς μεστῶν· ἐπὶ τῶν τοιούτων γὰρ ταῖς τραγῳδίαις ἐχρῶντο. ἦ που (ἤπου A).

R 595c,bis ἴσως, σχεδόν· ἤπουγε δὲ πολλῷ πλέον. εἰ θέλεις λαβών κτλ.

R 596d ση 〈μείωσαι〉 τὸν σοφισματώδη δημιουργόν. δίκαιον γοῦν κτλ.

R 597d [Start of a diagram] θεός φυτουργός κλινοποιός δημιουργός ζωγράφος μιμητής. [End of a diagram] διὰ Λυκοῦργον.

R 599d Λυκοῦργος Σπαρτιάτης ἢ Λακεδαιμόνιος γέγονε τῶν Τρωϊκῶν μετὰ ἔτη μθ′. ἦν δὲ κατὰ Σιμωνίδην Πρυτάνιδος μὲν υἱός, Εὐνόμου δὲ ἀδελφός, καὶ θεῖος τοῦ Εὐνόμου υἱοῦ, Χαριλάου τοῦ βασιλεύσαντος τῆς Σπάρτης, ἧς ἦρξεν καὶ Λυκοῦργος αὐτὸς ἔτη ιη′, ὅτε καὶ τοὺς νόμους ἔγραψεν, ἐπιτροπεύων τὸν ἀδελφιδοῦν. κατὰ δὲ τοὺς πλείστους Προκλέους μὲν τοῦ Ἀριστοδήμου Σόος, οὗ Εὐρυτίων, οὗ Πρύτανις, οὗ Εὔνομος, οὗ Πολυδέκτης ἐκ προτέρας γυναικός, ἐκ δὲ Διωνάσσης ὑστέρας Λυκοῦργος, ὃν καὶ τοὺς νόμους ἐκ Κρήτης φασὶν μετενεγκεῖν εἰς Λακεδαίμονα. Χαρώνδαν.

R 599e Χαρώνδας ἐκ Κατάνης, πόλεως Σικελίας, διάσημος νομοθέτης τῶν Ἀθήνησιν ἐλθόντων εἰς Θουρίους ἐποικῶν, φευγόντων δέ· τῷ πατρὶ συνακολουθήσας κατῴκησεν ἐν Χαλκίδι· τὴν δὲ ὄψιν ἐλευθέριος ἦν. γενόμενος δὲ τῶν Πυθαγορίων εἷς διήνεγκε τῷ προτρεπτικῷ. Σόλωνα.

R 599e,bis Σόλων Ἀθηναῖος, Ἐξηκεστίδου υἱός, σοφὸς καὶ νομοθέτης καὶ δημαγωγὸς γεγονώς. οὗτος Πεισιστράτου κατειπὼν μέλλοντος τυραννεῖν ἀπεδήμησεν διὰ τὴν ἐξ αὐτοῦ ἐπιβουλὴν εἰς Αἴγυπτον καὶ Κύπρον, ἀλλὰ καὶ πρὸς Κροῖσον τὸν βασιλέα Λυδῶν, εἶτα εἰς Κιλικίαν, οὗ κτίζει πόλιν Σόλους λεγομένην, ἐν ᾗ τοὺς κατοικισθέντας ὑπ' αὐτοῦ Ἀθηναίους, πολλὰ τῆς Ἑλλάδος φωνῆς διὰ τὸ χρόνῳ βαρβαρωθῆναι παραφθεγγομένους, σολοικίζειν καὶ σολοίκους ἔλεγον, ἐξ οὗ καὶ σολοικισμός. τούτου τὸ μηδὲν ἄγαν. ἔγραψεν δὲ νόμους οὓς ἄξονας ἐκάλεσεν, καὶ ὑποθήκας δι' ἐλεγείας. ἔτη δὲ γεγονὼς ὀγδοήκοντα ἐν Κύπρῳ τελευτᾷ. Θάλεω.

R 600a Θάλης Ἐξαμύου Μιλήσιος, Φοῖνιξ δὲ καθ' Ἡρόδοτον. οὗτος πρῶτος ὠνομάσθη σοφός· εὗρεν γὰρ τὸν ἥλιον ἐκλείπειν ἐξ ὑποδρομῆς σελήνης, καὶ μικρὰν ἄρκτον αὐτὸς ἔγνω καὶ τὰς τροπὰς πρῶτος Ἑλλήνων, καὶ περὶ μεγέθους ἡλίου καὶ φύσεως, ἀλλὰ καὶ ἄψυχα ψυχὴν ἔχειν ὁπωσοῦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. ἀρχὴν δὲ τῶν στοιχείων τὸ ὕδωρ· τὸν δὲ κόσμον ἔμψυχον ἔφη καὶ δαιμόνων πλήρη. ἐπαιδεύθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἱερέων. τούτου τὸ γνῶθι σαυτόν. ἐτελεύτησεν δὲ μονήρης, γηραιός, γυμνικὸν ἀγῶνα θεώμενος, ὑπὸ καύματος ἐκλυθείς. Ἀναχάρσιος Ἀνάχαρσις Γνούρου υἱὸς τοῦ βασιλέως Σκυθῶν, μητρὸς δ' Ἑλληνίδος· διὸ καὶ δίγλωσσος ἦν.

R 600a,bis οὗτος ἐξενώθη ἐν Ἀθήναις Σόλωνι, καὶ ἐπανελθὼν εἰς τὴν Σκυθίαν ἔθη Ἑλληνικὰ περιδιδάξαι, ἐτοξεύθη ὑπὸ τοῦ ἀδελφοῦ, καὶ ἀποπνέων ἔφη· διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος ἐσώθην, διὰ δὲ τὸν φθόνον ἐν τῇ πατρίδι ἀνῃρέθην. Πυθαγόρας.

R 600b Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, Τυρρηνός. νέος δ' ὢν ἦλθεν ἐκ Τυρρηνῶν εἰς Σάμον, καὶ διήκουσε Φερεκύδους τοῦ Συρίου. εἶτα Ἑρμοδάμαντος, ἐν Σάμῳ ἀμφοῖν, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρατος τοῦ μάγου. μεθ' οὓς ὑπὸ Αἰγυπτίων καὶ Χαλδαίων ἐπαιδεύθη. εἶτα εἰς Σάμον ἐλθὼν διὰ Πολυκράτη τὸν τύραννον ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας καὶ τʹ ἔσχε μαθητάς, προτέρους τε ἀδελφοὺς Εὔνομον καὶ Τυρρηνόν, καὶ δοῦλον Ζάμολξιν, ᾧ Γέται θύουσιν ὡς Κρόνῳ, γαμετήν τε Θεανώ, ἐξ ἧς παῖδες Τηλαύγης ὁ σχολαρχήσας μετ' αὐτὸν καὶ Δάμων ἢ ὥς τινες Μνήσαρχος, θυγάτηρ δὲ Μυῖα, ἢ ὥς τινες Ἀριγνώτη. συνεγράψατο δὲ βιβλία τρία, παιδευτικόν, πολιτικόν, φυσικόν. τὸ δὲ φερόμενον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ, φυγόντος εἰς Θήβας ἐκ τοῦ ἐμπρησμοῦ καὶ καθηγ〈ησ〉αμένου Ἐπαμεινώνδα. τινὲς δ' ἄρα καὶ τὰ χρυσᾶ ἔπη Πυθαγόρου φασὶν εἶναι. ἀπείχετο δὲ τῶν ἐμψύχων καὶ κυάμων, καὶ τὴν ψυχὴν ἔφη ἀθάνατον. ἐνενηκοντούτης δὲ τελευτᾷ μετὰ μαθητῶν μʹ ἐμπρησθέντων ἐν οἰκίᾳ τῇ αὐτῇ. ἄλλοι δέ φασιν ὅτι πολεμῶν μετὰ τῶν μαθητῶν ὑπὸ Ἀκρα〈γα〉ντίνων ἀπώλετο. Κρεώφυλος.

R 600b,bis Κρεώφυλος Χῖος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱστόρησαν γαμβρὸν Ὁμήρου ἐπὶ θυγατρί, καὶ ὅτι ὑποδεξάμενος Ὅμηρον ἔλαβεν παρ' αὐτοῦ τὸ ποίημα τῆς Ἰλιάδος (l. Οἰχαλίας ἁλώσεως). Πρωταγόρας.

R 600c Πρωταγόρας Ἀρτέμωνος, Ἀβδηρίτης. οὗτος φορτοβαστάκτης ἦν, ἐντυχὼν δὲ Δημοκρίτῳ ἐφιλοσόφησεν καὶ ἐπὶ ῥητορείαν ἔσχεν, καὶ πρῶτος λόγους ἐριστικοὺς εὗρεν, καὶ μισθὸν ἔπραξεν τοὺς μαθητὰς μνᾶς ρʹ. διὸ καὶ ἐπεκλήθη λόγος. τούτου μαθητὴς Ἰσοκράτης ὁ ῥήτωρ καὶ Πρόδικος ὁ Κῖος. ἐκαύθη δὲ τὰ τούτου βιβλία ὑπ' Ἀθηναίων· εἶπε γάρ· περὶ θεῶν οὐκ ἔχω εἰδέναι οὔτε ὥς εἰσιν οὔτε ὡς οὔκ εἰσιν. ἔγραψε δ' εἰς αὐτὸν ὁ Πλάτων διάλογον. πλέοντος δ' αὐτοῦ εἰς Σικελίαν ἐτελεύτησεν ναυαγήσας ἐτῶν ςʹ (l. ϙʹ), σοφιστεύσας ἔτη μʹ. Πρόδικος.

R 600c,bis Πρόδικος Κῖος φυσικὸς φιλόσοφος, Δημοκρίτου σύγχρονος τοῦ Ἀβδηρίτου, Γοργίου δὲ καὶ Πρωταγόρου μαθητής. τελευτᾷ κώνιον πιὼν ὑπὸ Ἀθηναίων ὡς τοὺς νέους διαφθείρων. περὶ ἕκαστον κτλ.

R 601d ( sine ind.). [Start of a diagram] αἱ περὶ ἕκαστον τέχναι ἢ χρησομένη ἢ ποιήσουσα ἢ μιμησομένη [End of a diagram] (sine ind.

R 601d,bis ). [Start of a diagram] χρώμενος ἐπιστήμη ποιητής πίστις ὀρθή μιμητής οὐδέτερα (sic) [End of a diagram] ἐπιθεμένη.

R 602d ἐπαναστᾶσα. ἀντίστροφον.

R 605a ἀντὶ τοῦ ἰσόστροφον. κῆδος.

R 605d λύπη, ὡς νῦν, ἢ μέριμνα, ἢ ἐπὶ γάμῳ συναλλαγή. βωμολοχίας.

R 606c βωμολοχία ἐστὶ προσεδρεία τις περὶ τοὺς βωμοὺς ὑπὲρ τοῦ τι παρὰ τῶν θυόντων λαβεῖν. μεταφορικῶς δὲ καὶ ἡ παραπλησίως ταύτῃ ὠφελείας ἕνεκά τινος κολακεία καὶ βωμολόχος ὁ κατ' αὐτὴν διακείμενος, ἢ ὁ εὐτράπελος καὶ γελωτοποιός· τινὲς δὲ τὸν μετά τινος εὐτραπελίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κόλακα, ἢ τὸν πανοῦργον καὶ συκοφάντην, καὶ βωμακεύματα καὶ βωμολοχεύματα, ὡς Ἀπολλόδωρος ὁ Κυρηναῖος. λακέρυζα.

R 607b μέγα κράζουσα. ἐρυσίβην.

R 609a θηρίδιόν τι ἐν τῷ σίτῳ γιγνόμενον, ὃ λυμαίνεται τὸν καρπόν. τινὲς δὲ νόσον ἐκ τοῦ περιέχοντος ἐπιγιγνομένην τοῖς σπέρμασιν. σχολῇ.

R 610e νῦν ἀντὶ τοῦ οὐδαμῶς. σημαίνει δὲ καὶ τὴν περί τι προσεδρείαν καὶ σπουδήν, καὶ τοὐναντίον τὴν ἀπό τινος ἀργίαν, ἔτι δὲ καὶ τὴν κατὰ τὴν παιδευτικὴν ἐν λόγοις διατριβήν. τὸν θαλάττιον Γλαῦκον.

R 611d τὸν Γλαῦκόν φασι Σισύφου καὶ Μερόπης εἶναι υἱόν, γενέσθαι δὲ θαλάττιον δαίμονα. οὗτος γὰρ περιτυχὼν τῇ ἀθανάτῳ πηγῇ καὶ κατελθὼν εἰς αὐτὴν ἀθανασίας ἔτυχεν, μὴ δυνηθεὶς δὲ ταύτην τισὶν ἐπιδεῖξαι εἰς θάλασσαν ἐρρίφη. καὶ περιΐησι (sic: l. περίεισι) τοὺς αἰγιαλοὺς πάντας καὶ τὰς νήσους ἅπαξ τοῦ ἐνιαυτοῦ ἅμα τοῖς κήτεσι. μαντεύεται δὲ πάντα φαῦλα· καὶ γὰρ ἐπιτηροῦσιν οἱ ἁλιεῖς νύκτα, καθ' ἣν αὐτοῖς χρᾷ σὺν πατάγῳ πολλῷ, καὶ καταδῦντες εἰς τὸ κοῖλον τῆς νεὼς ἐστραμμένης αὐτῆς, ἀόρατος γὰρ ὁ δαίμων αὐτοῖς, θυμιῶσιν, ἐπευχόμενοι ἀπαλλαγὴν ὧν προαγορεύει. ὁ δὲ προσνηξάμενος τῇ πέτρᾳ ὀλοφύρεται τὴν ἀθανασίαν Ἑλλάδι φωνῇ αἰολιζούσῃ καὶ προλέγει ζῴων καὶ καρπῶν φθοράν. οἱ δ' ἀπεύχονται ἀπόσιτοι καὶ ἄποτοι διατελοῦντες. Ἄιδος κυνῆν.

R 612b νέφος τὴν ἄϊδος κυνέην φασὶν ἀθάνατον καὶ ἀφανές, ἤτοι ἀορασίαν, ὃ περιβάλλονται οἱ θεοὶ ὅτ' ἂν ἐθέλωσιν ἀλλήλοις μὴ γιγνώσκεσθαι. εἴληπται δὲ εἰς παροιμίαν ἐπὶ τῶν ἀφανῶς τι ποιούντων. ἀλλ' οὐ μέντοι κτλ.

R 614b ( 1) ἀρχὴ τοῦ μύθου. (2) Ἦρ μέν ἐστιν ὁ τοῦ μύθου πατήρ, Ἀρμενίου τοὔνομα υἱός, Πάμφυλος γένος. τοῖς δὲ μυθικοῖς πλάσμασι ποιητικῆς χάριτος δεῖ καὶ τῶν τοῦ κάλλους σχημάτων, ὧν ἡ ποίησις διακορής. καὶ τούτῳ τὸν Ἀλκίνου ἀπόλογον ἐνταῦθα παρειλεῖφθαί (sic: l. παρειλῆφθαί) φαμεν, ἥ ἐστι τοῦ Ὀδυσσέως νέκυ〈ι〉α, καὶ τὰ ἐν Ἅιδου θεάματα, τῷ ψυχούλκῳ τῶν σφαγίων χρησαμένου αἵματι. ὅθεν καὶ εἰς παροιμίαν παρελήφθη τὸ τὸν περὶ τῶν ἐν Ἅιδου τί λέγοντα λέγεσθαι Ἀλκίνου λέγειν ἀπόλογον. ἀντιπαρατείνεται οὖν τῷ Ἀλκινόου λόγῳ ὑπὸ τοῦ Ὀδυσσέως ῥηθέντι ὁ ὑπὸ τοῦ Ἠρός. πλὴν ἐκεῖ μὲν ὁ Ἀλκίνους πρὸς εἰρήνην ὑπόκειται βλέπων καὶ τρυφήν· ἐνταῦθα δὲ γεννάδας τις ὁ Ἦρ ἱστόρηται καὶ πολεμικός, καὶ μετὰ τὸ κατὰ τὸν πόλεμον ἀποθανεῖν ἃ χωρισθείσης αὐτῷ τῆς ψυχῆς ἴδοι ἐν Ἅιδου ἀπαγγέλλων δείματα. ἀσπαλάθων.

R 616a ἀσπάλαθός ἐστι φυτὸν ἀκανθῶδες. Λάχεσιν μέν κτλ.

R 617c [Start of a diagram] Λάχεσις γεγονότα Κλωθώ ὄντα Ἄτροπος μέλλοντα [End of a diagram] ἐπὶ τῇ πυρᾷ.

R 621b τέλος τοῦ μύθου. μῦθος ἐσώθη.

R 621b,bis τοῖς μὲν οὖν πολλοῖς προστιθέναι τοῖς μύθοις ἔθος ἦν ὅτι μῦθος ἀπώλετο, δεικνύναι βουλομένοις ὡς ἄρα οἱ μῦθοι λέγουσι μὴ ὄντα, καὶ ἅμα ἐρρέθησαν καὶ οὔκ εἰσι. Πλάτων δὲ τοὐναντίον πανταχοῦ σῴζεσθαί τε καὶ σῴζειν φησὶ τοὺς μύθους τοὺς παρ' αὐτῷ, μάλα γε εἰκότως. τῶν γὰρ ὄντων εἰσὶν ἐξηγηταί, καὶ ὠφέλιμοι διὰ τοῦτο. τοὺς γὰρ πειθομένους αὐτοῖς ἐπανάγουσιν αὐτοφυῶς ἐπὶ τὴν τῶν ὄντων ἀλήθειαν, καίπερ ἄνευ εἰκότων καὶ ἀποδείξεων διδάσκοντες, ὡς ἂν τοῖς ἀδιαστρόφοις ἡμῶν προλήψεσι περὶ τῶν πραγμάτων συνᾴδοντες. ΕΙΣ ΤΟΝ ΤΙΜΑΙΟΝ Ὑπόθεσις.

Ti hyp (t) Σωκράτης εἰς Πειραιᾶ ἀφικόμενος τῆς τῶν Βενδιδίων ἑορτῆς ἕνεκα καὶ πομπῆς διείλεκται περὶ πολιτείας ἐκεῖ πρός τε Πολέμαρχον τὸν Κεφάλου καὶ Γλαύκωνα καὶ Ἀδείμαντον καὶ δὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θρασύμαχον τὸν σοφιστήν· τῇ δὲ ὑστεραίᾳ τῆς ἡμέρας ταύτης ἐν ἄστει πρὸς Τίμαιον καὶ Ἑρμοκράτη καὶ Κριτίαν καὶ τέταρτον ἐπὶ τούτοις ἄλλον ἀνώνυμον διηγεῖται τὴν ἐν Πειραιεῖ ξυνουσίαν, ὡς ἐν τῇ Πολιτείᾳ ὑπόκειται, διηγησάμενος δὲ παρεκάλεσε καὶ τοὺς ἄλλους οἰκείους (l. οἰκείοις) αὐτὸν ἀνταφεστιάσαι λόγοις τῇ ταύτης ὑστεραίᾳ. συνεληλύθασιν οὖν ἀκροασόμενοί τε καὶ ἐροῦντες εἰς τήνδε τὴν ἡμέραν, τρίτην οὖσαν ἀπὸ τῆς ἐν Πειραιεῖ συνουσίας. ἔν τε γὰρ τῇ Πολιτείᾳ τὸ "Κατέβην χθὲς" εἴρηται (327 a), κἀνταῦθα (17 a) τὸ "τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δὲ ἑστιατόρων". πάρεισι δὲ εἰς τήνδε τὴν ἀκρόασιν οὐ πάντες, ἀλλ' ὁ τέταρτος δι' ἀσθένειαν ἀπολείπεται. ὁ δὲ δὴ τέταρτος κτλ. [10]

Ti 17a ὁ Ἀττικός, φησὶν ὁ Πρόκλος, ὀρθῶς περὶ τοῦ τετάρτου τοῦδε ἐπισημαίνεται. ἔοικεν γὰρ ὁ ἀπολειπόμενος οὗτος εἶναι τῶν μετὰ Τιμαίου ξένων, διὸ καὶ ὁ Σωκράτης αὐτὸν ἐρωτᾷ τὸν Τίμαιον ὅπου ποτε εἴη ὁ τέταρτος, καὶ ἐκεῖνος ὡς περὶ ἐπιτηδείου τινὸς ἀπολογεῖται, τὴν ἀπουσίαν ἀναγκαίαν αὐτῷ καὶ ἀβούλητον δεικνύς. ἀνταφεστιᾶν ( sic F vulg. [5]

Ti 17b Procli (in lemmate): ἀντεφεστιᾶν A codd. Procli, cf. Diehl ad loc., p. 24, 28). ἀνταφεστιᾶν φησίν, ἀλλ' οὐκ ἀνθεστιᾶν· ἡ γὰρ ἀφεστίασις τὴν ὁλοτελῆ τῆς ἑστιάσεως ἀποπλήρωσιν συνείληφεν. διὰ τὴν ἀήθειαν.

Ti 18c ὅτι τὸ ἄηθες εὐμνημόνευτον· κινεῖ γὰρ μᾶλλον τὴν φαντασίαν ὡς παράδοξον, καὶ τὸν τύπον ἑαυτοῦ τρανέστερον ἡμῖν ἐντίθησιν. τύχην ἡγουμένοις αἰτίαν.

Ti 18e ὑπὸ γὰρ τῶν ἀρχόντων κατὰ τὸ καθῆκον ἑκάστῳ λάθρᾳ τῶν κλήρων γιγνομένων τῆς συνέρξεως καὶ οὐ φανερῶς, ὑπολαμβάνειν ἀνάγκη τυχηρῶς τοὺς φαύλους συναρμόζεσθαι αὐτοὺς ταῖς φαύλαις καὶ οὐ κατά τινα πρόνοιαν. sqq. [5]

Ti 19b sigla. προσέοικεν δὲ δή ( in mg.

Ti 19b,bis α'). ταῦτ' οὖν, ὦ Κριτία (" β').

Ti 19d καὶ τὸ μέν κτλ. (" γ'). τὸ δὲ τῶν σοφιστῶν (" δ').

Ti 19e,bis καταλέλειπται δή (" ε'). προσέοικεν δὴ κτλ.

Ti 19b,ter ὅτι Σωκράτης ποθεῖ μετὰ τὴν πολιτείαν ταύτην ἰδεῖν κινουμένην τὴν πόλιν τὴν κατὰ αὐτὴν εἰς ἀγῶνας καὶ ἄθλους, ἵνα μετὰ τὴν εἰρηνικὴν ζωὴν ἣν παραδέδωκεν τὰς περιστατικὰς ἐνεργείας ἱστορήσῃ. ταῦτ' οὖν ὦ Κριτία.

Ti 19c,bis ὅτι τούς τε ἄνδρας καὶ τὴν πόλιν οὐκ ἔστιν ἱκανὸς Σωκράτης ἐγκωμιάσαι. καὶ τὸ μὲν ἐμόν κτλ.

Ti 19d,bis ὅτι οὐδὲ τῶν ποιητῶν οὐδεὶς ἱκανός. τὸ δὲ τῶν σοφιστῶν κτλ.

Ti 19e,ter ὅτι οὐδὲ τὸ τῶν σοφιστῶν γένος. καταλέλειπται δή κτλ.

Ti 19e,quat ὅτι μόνοι ἂν οἱ ἀκροαταὶ ποιήσαιεν ἀξίως τὸ σπουδαζόμενον ὑπὸ Σωκράτους. Τίμαιος .

Ti 20a .. Κριτίαν ... Ἑρμοκράτους. Τίμαιος ἐκ Λοκρῶν τῶν Ἐπιζεφυρίων, τῆς ἐν Ἰταλίᾳ πόλεως, φιλόσοφος Πυθαγόριος, ἔγραψε μαθηματικά τε καὶ περὶ φύσεως σύγγραμμα τὸν Πυθαγορικὸν τρόπον. ἔνθεν ὁ Πλάτων καὶ τὸν διάλογον εἰς αὐτὸν ἔγραψεν, καθὰ ὁ σιλλογράφος φησὶ περὶ αὐτοῦ (Timo Phliasius fr. 54 Diels)— πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξατο βίβλον, ἔνθεν ἀφορμηθεὶς τιμαιογραφεῖν ἐπεχείρει. ἐκ ταύτης τῆς πόλεως καὶ Ζάλευκος ὁ νομοθέτης ἦν. ὁ δὲ Κριτίας ἦν μὲν γενναίας καὶ ἁδρᾶς φύσεως, ἥπτετο δὲ καὶ φιλοσόφων συνουσιῶν, καὶ ἐκαλεῖτο ἰδιώτης μὲν ἐν φιλοσόφοις, φιλόσοφος δ' ἐν ἰδιώταις. ἐτυράννευσεν δὲ καὶ αὐτὸς εἷς τῶν λ' γεγονώς. ὁ δ' Ἑρμοκρά 〈τησ〉 Συρακούσιός ἐστι στρατηγός, κατὰ νόμον ζῆν ἐφιέμενος· διὸ καὶ πολιτικῆς πως μετεῖχεν καὶ φιλοσοφίας. ἄκουε δή. [10]

Ti 20d τοῦτο παροιμιῶδές ἐστιν ἐφ' ὧν ἐκκαλέσασθαι βουλόμεθα τὸν ἀκούοντα, ἴσον ὂν τῷ δέχου δὴ τὰ ἄξια ἀκοῆς. ἀτόπου.

Ti 20d,bis

ἄτοπον· ἢ τὸ θαύματος ἄξιον, ὡς νῦν, ἢ τὸ παράλογον, ἢ τὸ παράδοξον, ἢ τὸ θαυμαστόν. τῶν ἑπτά.

Ti 20d,ter,c1 σοφοί Θαλῆς Σόλων Χίλων Πιττακός Βίας Τελεόβουλος (l. Κλεόβουλος) Περίανδρος πατέρες τούτων Ἑξαμύου Ἐξηκεστίδου Δαμαγήτου Ὑρραδίου Τευταμίδου Εὐαγόρου Κυψέλου πατρίδες Μιλήσιος Ἀθηναῖος Λακεδαιμόνιος Μυτιληναῖος Πριηνεύς Λίνδιος Κορίνθιος οἰκεῖος.

Ti 20e λέγονται γὰρ οἰκεῖοι καὶ οἱ συγγενεῖς. Δρωπίδου τοῦ προπάππου.

Ti 20e,bis [Start of a diagram] Ἐξηκεστίδης Σόλων Δρωπίδης οὗ Κριτίας ὁ πρῶτος Κάλλαισχρος οὗ Κριτίας ὁ δεύτερος Γλαύκων Χαρμίδης Περικτιόνη Πλάτων Γλαύκων Ἀδείμαντος [End of a diagram] ἐν τῇ ποιήσει.

Ti 20e,ter εἰπέμεναι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν· οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι (Solon fr. 18 Diehl). Κριτίας.

Ti 21a ὁ παλαιὸς δηλαδή. ἡ δὲ Κουρεῶτις κτλ.

Ti 21b Ἀπατούρια ἑορτὴ Ἀθήν〈η〉ισιν εἰς Διόνυσον, ἐκ τοῦδε· Μελάνθιος ἀντὶ Θυμοίτου τοῦ βασιλέως Ἀθηναίων Ξανθίῳ μονομαχῶν τῷ Βοιωτῷ ἀπατήσειεν αὐτὸν εἰπών· "Παρὰ τὴν ὁμολογίαν, ὦ Ξάνθιε, δεύτερος ἥκεις." τοῦ δὲ Ξανθίου ἐπιστραφέντος ἵν' ἴδοι τὸν δεύτερον, αὐτὸν μὲν μηδένα ἰδεῖν, Μελάνθιον δὲ τοῦτον ἐξ ἐπιδρομῆς ἀνελεῖν, καὶ οὕτως ἐξ ἀπάτης νικῆσαι Ἀθηναίους, ὑπὲρ Οἰνόης πολεμοῦντας Βοιωτοῖς. ἑώρταζον δὲ ἡμέρας τρεῖς, ὧν ἡ α′ ἐκαλεῖτο ἀνάρρυσις· τὰ γὰρ θύματα λέγεται ἀναρ〈ρ〉ύματα παρὰ τὸ ἄνω ἐρυόμενα θύεσθαι· καὶ γὰρ ἐν ταύτῃ πολλὰ ἐθύετο· ἡ δὲ β′ δορπία, καθ' ἣν εὐωχίαι καὶ δεῖπνα πολλά, ἡ δὲ γ′ κουρεῶτις· ἐν ταύτῃ γὰρ τοὺς κούρους ἐνέγραφον εἰς τοὺς φράτερας, τριετεῖς ἢ τετραετεῖς ὄντας. ἐν ᾗ καὶ τῶν παίδων οἱ ἐντρεχέστεροι ποιήματα ἄττα ᾖδον, τὰ τῶν παλαιῶν ῥαψῳδοῦντες. φρατέρων.

Ti 21b,bis Ἀθήνησιν αἱ φυλαὶ μετὰ μὲν Ἴωνα δ′, ἀπὸ δὲ Κλεισθένους ι′, μετὰ δὲ ταῦτα ιβ′. διῃρέθη δ' ἑκάστη εἰς τρία, καὶ τὸ τρίτον ἐκλήθη τριττύς, εἶτα πατριὰ καὶ φρατρία, καὶ φράτορες (sic) οἱ εἰς τὴν αὐτὴν φυλὴν ταττόμενοι καὶ φρατρίαν ὡς ἀλλήλοις συγγενεῖς, καὶ εἰς τούτους τοὺς φράτερας (sic) ἡ ἐγγραφὴ τῶν κόρων ἐγίγνετο. τί κτλ.

Ti 21d τί, τὸ ἔργον· πῶς, τίνα τρόπον· παρὰ τίνων, τῶν διασωσαμένων αὐτὸ μέχρι τῆς Σόλωνος ἀκοῆς. νομός.

Ti 21e ἀπὸ τοῦ νενεμῆσθαι τὴν γῆν οὕτω λέγεται. Σάϊς.

Ti 21e,bis ( 1) ἐκ τῶν Μανεθὼ Αἰγυπτιακῶν (F H G II 570, 49) ιζ η δυναστεία ποιμένες ἦσαν ἀδελφοὶ Φοίνικες ξένοι βασιλεῖς, οἳ καὶ Μέμφιν εἷλον, ὧν α′ Σαΐτης ἐβασίλευσεν ἔτη ιθ′, ἀφ' οὗ καὶ ὁ Σαΐτης νόμος (sic; l. νομὸς) ἐκλήθη, οἳ καὶ ἐν τῷ Σεθροΐτῃ νόμῳ (sic) πόλιν ἔκτισαν, ἀφ' ἧς ὁρμώμενοι Αἰγυπτίους ἐχειρώσαντο· β′ τούτων Βνῶν ἔτη μ′, γ′ Ἀρχάης ἔτη λ′, δ′ Ἄφωρις ἔτη ιδ′· ργ′· ὁ δὲ Σαΐτης προσέθηκεν τῷ μηνὶ ὥρας ιβ′, ὡς εἶναι ἡμερῶν λ′, καὶ τῷ ἐνιαυτῷ ἡμέρας ς′, καὶ γέγονεν ἡμερῶν τξε′. (2) ση〈μείωσαι〉 ὅτι τὴν Σάιν ἀκίνητόν φησιν ὑπὸ σεισμῶν. διὸ καὶ Αἰγύπτιοι εἰς τὴν Ἄρκτον αὐτὴν ἱερατικῶς ἀναπέμπουσιν, ὡς μετέχουσάν τινος ἐκεῖθεν ἀπορροίας, διὰ τὸν περὶ τὸν πόλον τόπον δεξαμένην ἑδραίαν στάσιν. περὶ Φορωνέως.

Ti 22a Φορωνεὺς Ἰνάχου καὶ Μελίας, Ἀργείων βασιλεύς. Νεόβη ( sic) δὲ τούτου παῖς καὶ Τηλοδίκης τῆς Ξούθου. Δευκαλίων δὲ καὶ Ἐπιμηθεὺς Προμηθέως καὶ Κλυμένης. Πύρρα δὲ Ἐπιμηθέως καὶ Πανδώρας τῆς ὑπὸ θεῶν πεπλασμένης. κατακλυσμόν.

Ti 22a,bis ὅτι τρεῖς ἱστοροῦσι γενέσθαι κατακλυσμούς, πρῶτον τὸν ἐπὶ Ὠγύγου, ὃς ἦν τῆς Ἀττικῆς βασιλεύς, δεύτερον τὸν ἐπὶ Δευκαλίωνος, ὅτε καὶ τὰ κατὰ τὴν Θετταλίαν ὄρη διέστη καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντα, τρίτον τὸν ἐπὶ Δαρδάνου τοῦ Διὸς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἠλέκτρας τῆς Ἄτλαντος, ὃς Δάρδανος ἐβασίλευσε μετὰ τὸν κατακλυσμὸν τῆς ἀντίπερα Σαμοθρᾴκης ἠπείρου, διὰ σχεδιᾶς (sic: l. σχεδίας) αὐτόσε κομισθείς. τινα .

Ti 22b .. τῶν ἱερέων. Πατενεῖτ τοὔνομα. τὸ γὰρ οὖν κτλ.

Ti 22c ὅτι κατὰ τοὺς αὐτοὺς χρόνους γενέσθαι φασὶ τόν τε περὶ Θεσσαλίαν καὶ τοὺς ἐκείνῃ τόπους κατακλυσμόν, καὶ τὴν ἐν Αἰθιοπίᾳ ὑπὸ τοῦ Φαέθοντος ἐκπύρωσιν. παράλλαξις.

Ti 22d παράλλαξιν τὴν ἀσυμμετρίαν τῶν ἐν γῇ πρὸς τὰς ἐκ τοῦ οὐρανοῦ ἡκούσας εἰς αὐτὴν ἀπορροίας φησίν· συμμέτρως γὰρ ἔχοντα διαμένει, ἀσυμμέτρως δέ, φθείρεται. ἢ τὸν τῶν οὐρανίων ποικίλον σχηματισμόν· οὗτοι γάρ εἰσιν οἱ κατ᾽ οὐρανὸν περὶ γῆν ἰόντες, καὶ ἄλλοτε ἄλλα σχήματα δεικνύντες διὰ τὰς ποικίλας νοήσεις τῶν ψυχῶν· γράμματα γὰρ ἐκείνων τὰ σχήματά ἐστι καὶ τύποι τινὲς δραστήριοι δι᾽ ἐκείνους. λυόμενος.

Ti 22d,bis Ἀττικῶς ἀντὶ τοῦ λύων τῆς ἀπορίας ὁ Νεῖλος ἡμᾶς. κατὰ δὲ τήνδε κτλ.

Ti 22e κατὰ τὴν ἄνω Αἴγυπτον δῆλον ὅτι· κατὰ γὰρ τὴν κάτω, ἣν ἔργον τοῦ ποταμοῦ φησιν Ἀριστοτέλης (Meteor. 351 b 29), ὄμβροι εἰώθασι γίνεσθαι. ἐπανιέναι δὲ λέγει οὐ τὸ κάτωθεν ἀναβλυσθαίνειν, ἀλλὰ τὸ τὸ ὕδωρ ἀλλαχόθεν αὐξόμενον ἀνωτέρω τῆς γῆς χωρεῖν, ὑδάτων καταρρηγνυμένων εἰς τὸν Νεῖλον ἐξ ἄλλων τόπων τῶν κατὰ τὰ Σεληναῖα ὄρη, ἀφ᾽ ὧν αἱ τούτου πηγαί, ἐκ τῆς γιγνομένης ἐν αὐτοῖς πιλήσεως τῶν νεφῶν ὑπὸ τῶν Ἐτησίων ἀνέμων, ὡς Θεόφραστός φησι. ταῦτα δὲ τὰ ὄρη ὑψηλότατά ἐστι. καί τινα διαφορὰν ἄλλην ἔχον.

Ti 23a ἀντὶ τοῦ παραδόξως ἐκβεβηκός. δι᾽ εἰωθότων ἐτῶν.

Ti 23a,bis ὅτι κατά τινας ἐπιτελοῦνται περιφορὰς καὶ αἱ τοιαῦται φθοραί, ἐχούσας τινὰ καὶ αὐτὰς ἀκολουθίαν πρὸς τὴν ὅλην τοῦ θείου γενητοῦ περίοδον (Rep. 546 b). Γῆς τε καὶ Ἡφαίστου.

Ti 23e Ζεὺς Μήτιδι συνελθὼν καὶ γενομένην ἔγκυον καταπίνει, ἐπείπερ ἔλεγεν παῖδα γεννήσειν μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γεννᾶσθαι κόρην, ὃς δυναστεύσει οὐρανοῦ. ὡς δ᾽ ὁ καιρὸς τῆς ταύτης ἐνέστη γεννήσεως, δεῖται Ἡφαίστου πρὸς τοῦτο συνεργοῦ, ὡς κατὰ τῆς κεφαλῆς πλήξειεν αὐτόν· ἐπὶ ταύτης γὰρ ἐκυοφόρει τὸ ἔμβρυον. ὁ δὲ οὐκ ἄλλως ὑπακοῦσαι κατένευσεν, εἰ μὴ τῇ γεννωμένῃ συγχωρηθείη συνελθεῖν εἰς εὐνήν. ὑποστάντος δὲ τοῦ Διός, πελέκει πλήττει τούτου τὴν κεφαλὴν Ἥφαιστος. καὶ γεννᾶται μὲν οὕτως ἐξ αὐτῆς Ἀθηνᾶ, ἐπιδιώκων δ᾽ αὐτὴν Ἥφαιστος ἀποσπερμαίνει μὲν εἰς τὸν ταύτης μηρόν, ἡ δὲ λαβοῦσα ἔριον τὸ σπέρμα ἐξέμαξεν ἔρριψέ τε εἰς γῆν. καὶ οὕτως ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς δρακοντόπους ἄνθρωπος ἐγένετο, Ἐριχθόνιος τοὔνομα. τοῦτο οὖν ἐνταῦθά φησιν, ὅτι Ἀθηναῖοι τοῦτον λέγουσι γενέσθαι παρ᾽ αὐτοῖς αὐτόχθονα. παραδείγματα.

Ti 24a παραδείγματα νῦν, ὥς φησι Πρόκλος, τὰς εἰκόνας καλεῖ, ἐπείπερ αὗται γίγνονται παραδείγματα τοῖς ἀπ᾽ αὐτῶν ἀναπεμπομένοις, καὶ δι᾽ αὐτῶν τὰ πρῶτα γιγνώσκουσιν. πρῶτον μέν ( in mg.

Ti 24a,bis α′). μετὰ δέ (" β′). τό τε τῶν (" γ′). καὶ τὸ τῶν (" δ′). τό τε τῶν (" ε′). τὸ μάχιμον (" ϛ′).

Ti 24b τὸ δ᾽ αὖ (" ζ ′ ). τὰ ἐν τῇ πόλει γένη α′ ἱερατικόν β′ δημιουργικόν γ′ νομευτικόν δ′ θηρατικόν ε′ γεωργικόν ϛ′ μάχιμον ζ′ φρονήσεως ἐπιμελόμενον μαθήματα.

Ti 24c γεωμετρία, ἀστρονομία, λογιστική, ἀριθμητική, καὶ αἱ ταύταις συγγενεῖς. Εὐρώπην.

Ti 24e Εὐρώπη κέκληται ἀπὸ Εὐρώπης τῆς Ἀγήνορος ἢ Φοίνικος ἢ Τιτυοῦ, Ἀσία δὲ ἀπὸ Ἀσίας τῆς Οὐρανοῦ καὶ Γῆς, Λιβύη δὲ ἀπὸ Λιβύης τῆς Ἐπάφου, βασιλέως Αἰγύπτου, καὶ Μέμφεως τῆς Νείλου· οἱ δὲ Ἀμφιρροῆς. Ἀτλαντικοῦ πελάγους.

Ti 24e,bis τὸν Ἡρακλέα λόγος πολλὰς ἀβάτους διαπορευθέντα εἰς τὸν Ἄτλαντα, τὸ ὄρος, ἐξ οὗ καὶ τὸ πέλαγος ὠνομάσθη, ἐλθεῖν· ὃ ἐξ Ἄτλαντος τοῦ Ποσειδῶνος καὶ Κλειτοῦς καλεῖται, ὃ διὰ τὸ ὕψος ἐπ᾽ αὐτοῦ φέρεσθαί φασι τὸν οὐρανόν. καὶ γὰρ τοῦ αἰθέρος αὐτοῦ λέγει Μάρκελλος (F H

Eulogikon public reading copy · View original HTML at eulogikon.org

G IV 443, 2) τὴν τοῦδε ψαύειν κορυφήν. καὶ σκιὰν ἐκπέμπειν ἄχρι πεντακισχιλίων σταδίων· ἀπὸ γὰρ θʹ ὥρας ἡμερινῆς κρύπτεσθαι τὸν ἥλιον ὑπ’ αὐτοῦ μέχρι τελέας καταδύσεως, καὶ ὁ Ἄθως ἐπὶ ἑπτακοσίους σταδίους ἕως Λήμνου σκιάζει. Πτολεμαῖος δὲ (IV 8, 2; errat Proclus) τὰ Σεληναῖα ὄρη τὸ 〈ὕψοσ〉 ἄπλετον ἔχειν φησί. καὶ Ἀριστοτέλης (Meteor. 350 a, 31) τοῦ Καυκάσου τὴν κορυφὴν τὸ τρίτον μετὰ δυσμὰς καὶ τὸ γʹ πρὸ ἀνατολῶν μέρος τῆς νυκτὸς ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων καταυγάζεσθαι. Ἡρακλέους στήλας.

Ti 24e,ter Ἡρακλῆς ἧκεν μὲν εἰς Ἐρύθειαν, ἣ νησός ἐστιν Ὠκεανοῦ κειμένη πλησίον, ἣ νῦν Γάδειρα καλεῖται, ἐπὶ δὲ τῷ τὰς βοῦς ἀγαγεῖν Γηρυόνου τοῦ Χρυσάορος καὶ Καλλιρρόης (sic) τῆς Ὠκεανοῦ, ὃς ἦν τρία σώματα ἔχων συμφυέντα εἰς ἓν ἀπὸ λαγόνος τε καὶ μηρῶν, εἶχεν δὲ βοῦς φοινικᾶς, βούκολον Εὐρυτίωνα, κύνα φύλακα Ὄρθον δικέφαλον, τὸν Ἐχίδνης καὶ Τυφῶνος. δι’ Εὐρώπης οὖν πορευθεὶς Λιβύης ἐπέβη, καὶ παρελθὼν Ταρτησσὸν ἵστησι μὲν σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας, ἐλαύνει δὲ πρὸς Εὐρυσθέα τὸν Τίρυνθος βασιλέα τὰς βοῦς, ᾗ προσετάγη ὑπ’ αὐτοῦ. ἡ δὲ νῆσος.

Ti 24e,quat ὅτι μὲν ἐγένετο τοιαύτη τις νῆσος καὶ τηλικαύτη, δηλοῦσί τινες τῶν ἱστορούντων τὰ περὶ τῆς ἔξω θαλάσσης. εἶναι γὰρ καὶ ἐν τοῖς αὐτῶν χρόνοις ἑπτὰ μὲν νήσους ἐν ἐκείνῳ τῷ πελάγει Περσεφόνης ἱεράς, τρεῖς δὲ ἄλλας ἀπλέτους, τὴν μὲν Πλούτωνος, τὴν δὲ Ἄμμωνος, μέσην δὲ τούτων ἄλλην Ποσειδῶνος χιλίων σταδίων τὸ μέγεθος, καὶ τοὺς οἰκοῦντας ἐν αὐτῇ μνήμην ἀπὸ τῶν προγόνων διασῴζειν περὶ τῆς Ἀτλαντίδος, ὄντως γενομένης νήσου ἐκεῖ παμμεγεθεστάτης, ἣν ἐπὶ πολλὰς περιόδους δυναστεῦσαι πασῶν τῶν ἐν τῷ Ἀτλαντικῷ πελάγει νήσων, Ποσειδῶνος καὶ αὐτὴν οὖσαν ἱεράν. ταῦτα μὲν οὖν Μάρκελλος ἐν τοῖς Αἰθιοπικοῖς (F H G IV 443, 1) γέγραφεν, ἡμεῖς δὲ ἀπὸ τῶν Πρόκλου ἐξελόντες παρεθέμεθα. βασιλέων.

Ti 25a δέκα γὰρ βασιλεῖς ἦσαν ἐν αὐτῇ, τεχθέντες δίδυμοι πεντάκις· καὶ τἆλλα δὴ τὰ ἐνταῦθα λεγόμενα ἐν τῷ Κριτίᾳ (113 b sqq.) διαρρήδην ἱστόρηται. Ποσειδῶνος δὲ καὶ Κλειτοῦς οὗτοι, ὧν ὁ πρῶτος, ὡς ὁ Πρόκλος φησί, Ἄτλας ἐκαλεῖτο, ἐξ οὗ καὶ ἡ νῆσος ὠνόμασται. Αἴγυπτον .

Ti 25b .. Τυρρηνίας. Αἴγυπτος κέκληται ἀπὸ Αἰγύπτου τοῦ Βήλου καὶ Ἀγχιρόης τῆς Νείλου, τοῦ βασιλέως Αἰγυπτίων. τοῦτον ὁ πατὴρ ἐν Ἀραβίᾳ κατοικίζει. ὁ δὲ καταστρεψάμενος τὴν Μελαμπόδων χώραν ἀφ’ ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. Τυρρηνία δὲ ἀπὸ Τυρρηνοῦ τοῦ Ἄγρωνος, τοῦ Ἄτυος, τοῦ Λυδοῦ· καὶ δὴ καὶ τὸ Τυρρηνικὸν πέλαγος. οὗτος κατὰ χρησμὸν ἐκ Λυδίας ἀπάρας εἰς τούσδε ἀφίκετο τοὺς τόπους, ἐκ Σαρδοῦς τε τῆς αὐτοῦ γυναικός, ἀφ’ ἧς καὶ κατὰ Λυδίαν Σάρδεις ἡ πόλις, καὶ ἡ ἀργυρόφλεψ νῆσος τὸ πρίν, Σαρδὼ νῦν ὀνομάζεται. σεισμῶν.

Ti 25c Πρόκλου. ὅτι ὅπου ἅμα σεισμῷ γίνεται κατακλυσμός, κῦμα τούτου τοῦ πάθους αἴτιον. ὅτ’ ἂν γὰρ τὸ τὸν σεισμὸν ποιοῦν πνεῦμα, μηδέπω ῥέον ὑπὸ γῆν, τὴν θάλατταν ὑπό τινος ἐναντίου πνεύματος αὐτῷ κινουμένην, ἐξ ἐναντίας φερόμενον ἀπῶσαι μὲν εἰς τοὐπίσω μὴ δυνηθῇ διὰ τὸν προωθοῦντα ἄνεμον αὐτήν, ἱστᾷ δὲ καὶ ἐμποδίζον αὐτῆς τὴν πρόοδον αἴτιον γίγνεται τοῦ πολλὴν ὠθουμένην ὑπὸ τοῦ ἐναντίου τούτῳ πνεύματος ἀθροισθῆναι, τότε δή, πολλῆς τῆς θαλάττης γενομένης διὰ τὸ ἀπ’ ἐναντίας ὠθοῦν, αὐτὸ μὲν ὑπὸ γῆν ἔδυ, τῆς ῥοῆς ἀθρόας ἐπιχυθείσης, καὶ ἐποίησεν τὸν σεισμόν, ἡ δὲ θάλασσα ἐπέκλυσε τὸν τόπον. τοῦτον γὰρ τὸν τρόπον καὶ περὶ Ἀχαίαν γενέσθαι τὸν σεισμὸν ἅμα καὶ τὴν τοῦ κύματος ἔφοδον τοῦ ἐπικλύσαντος τὰς παραθαλασσίους πόλεις, βοῦραν καὶ Ἑλίκην. κάρτα.

Ti 25d λίαν, μεγάλως. ὃν ἡ νῆσος κτλ.

Ti 25d,bis τοῦτο καὶ οἱ τοὺς ἐκείνῃ τόπους ἱστοροῦντες λέγουσιν, ὡς πάντα τεναγώδη τὸν ἐκεῖ εἶναι χῶρον. τέναγος δέ ἐστιν ἰλύς τις ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ καὶ βοτάνης ἐπιφαινομένης τούτῳ· ἢ πηλώδη πελάγη· ἢ διάβροχοι ἢ κάθυγροι τόποι. ἐν χρόνῳ (ἐν τῷ A, sed τῷ in ras.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ti 38a ). ἔν τινι. θεοὶ θεῶν κτλ.

Ti 41a ση 〈μείωσαι〉 τὴν τοῦ δημιουργοῦ δημηγορίαν. πλοκάνων (πλοχάνων A, sed χ in ras).

Ti 52e πλόχανόν ἐστι πλέγμα τι, ᾧ ὁ σῖτος καθαίρεται. λέμμα.

Ti 76a λέμμα· φλοιός, λέπισμα. δρυόχων.

Ti 81b τὰ στηρίγματα τῆς πηγνυμένης νεὼς δρυόχους φασίν. εὐρῶτος.

Ti 84b σεσηπυίας ὑγρότητος. σφακελίσαν.

Ti 84b,bis σφακελισμός ἐστι σῆψις μυελοῦ, καὶ σφάκελος ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόεσις, ὁ δὲ σπασμὸς οὗτος μετὰ φλεγμονῆς. ἰατροὶ δὲ τὴν μελανίαν ἢ τὴν σφοδρὰν ὀδύνην, ἔνιοι δὲ τὴν τῶν ὀστέων σῆψιν. λέγεται δὲ καὶ ὁ σφυγμὸς καὶ ὁ παλμός, ἀλλὰ καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. ΕΙΣ ΤΟΝ ΚΡΙΤΙΑΝ μελλητέον.

Criti 108d ὑπερθετέον. ἐκ πρύμνης.

Criti 109c σημείωσαι τὸ ἐκ πρύμνης, οἶμαι, τὸ ἔνδοθεν. Κέκροπός τε κτλ.

Criti 110a οὗτοι πάντες Ἀθηναίων βασιλεῖς. Ἰσθμόν.

Criti 110d Ἰσθμὸς γῆ στενὴ ἀμφιθαλάσσιος καθ’ ἣν ἡ Ἀχαία τῇ Πελοποννήσῳ συνάπτεται. Κιθαιρῶνος .

Criti 110e .. Πάρνηθος. Κιθαιρὼν ὄρος Βοιωτίας, Πάρνης δὲ ὄρος μεταξὺ Ἀττικῆς καὶ Βοιωτίας, πλησίον Πανάκτου. Ὠρωπίαν.

Criti 110e,bis Ὠρωπὸς πόλις Βοιωτίας. Ἀσωπόν.

Criti 110e,ter Ἀσωπὸς ποταμὸς Βοιωτίας. φελλέως.

Criti 111c φελλεὺς τόπος σκληρὸς ποσῶς καὶ πετρώδης, συνεργὴς (l. δυσεργὴς) δέ. οἱ δὲ τὸν ἐξ ἐπιπολῆς πετρώδη. σᾶ.

Criti 111c,bis σᾶ τὰ σῶα μονοσυλλάβως Ἀττικοί, καὶ τὸν σῶον σῶν. καὶ ἡ σώα σᾶ παρ’ αὐτοῖς. Ἠριδανὸν .

Criti 112a .. Ἰλισόν. Ἠριδανὸς καὶ Ἰλισσὸς καὶ ἀλλαχοῦ μέν, ἀλλ’ οὗτοι ἐν τῇ Ἀττικῇ. Πύκνα.

Criti 112a,bis Πνὺξ τόπος Ἀθήνῃσιν ἐν ᾧ ἐκκλησίαι ἐγίγνοντο πάλαι μὲν πᾶσαι, ὕστερον δὲ ἅπαξ, ὅτ’ ἂν τὸν στρατηγὸν χειροτονῶσιν. ἐκλήθη δὲ οὕτως ἤτοι ἀπὸ τοῦ πυκνοῦσθαι τὸν ὄχλον ἐκεῖ, ἢ ἀπὸ τοῦ πυκνὰ εἶναι τὰ περὶ αὐτὴν οἰκήματα. Λυκαβηττόν.

Criti 112a,ter ὄρος τῆς Ἀττικῆς. εἴρηται δὲ οὕτως διὰ τὸ λύκοις πληθύειν. συσσίτια.

Criti 112b τὰ δεῖπνα ἃ κοινῇ ποιοῦνται Λακεδαιμόνιοι. καλεῖται δὲ καὶ φιλίτια, ἐπειδὴ φιλίας συναγωγά ἐστι. εὐκράς.

Criti 112d εὐκράς· εὔκρατος ἢ εὐκέφαλος, ὡς Εὐριπίδης Ἀντιόπῃ. Εὐήνωρ μὲν ὄνομα κτλ.

Criti 113d [Start of a diagram] Εὐήνωρ Λευκίππη ἐξ ὧν Ποσειδῶν Κλειτώ ἐξ ὧν Ἄτλας Γάδειρος Ἀμφήρης Εὐαίμων Μνησεύς Αὐτόχθων Ἐλάσιππος Μήστωρ Ἀζάης Διαπρεπής [End of a diagram] ἀκροδρύων.

Criti 115b ἀκρόδρυα κοινῶς οἱ τῶν δένδρων καρποί. μεταδόρπια.

Criti 115b,bis ἐπίδειπνα. τρίπλεθρον.

Criti 115d τὸ πλέθρον ἐστὶ ποδῶν (l. πήχεων) ξς′ δίμοιρον. σταδίων.

Criti 115d,bis στάδιόν ἐστι μέρος τί μιλίου ἕβδομον τεσσαρεσκαιδέκατον (sic)· τὸ γὰρ μίλιόν ἐστι ζ ⸤ στάδια. ἐφίτυσαν.

Criti 116c φιτῦσαι ἐπὶ τοῦ πατρός· γεννῆσαι ἐπὶ μητρός. καὶ τὸ γέννημα φῖτυ: Εὔπολις Αὐτολύκῳ (fr. 49 Kock)— ἀτὰρ ἤγαγες καινὸν φῖτυ τῶν βοῶν. ὑμνεῖτο (ὕμνει τὸ A: ὑμνεῖ τὸ F).

Criti 118b ὀδύρεται νῦν. σημαίνει δὲ καὶ τὸ μέμφεται καὶ λοιδορεῖ κατ’ εὐφημισμόν. καθαγίζοιεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Criti 120a καθιερώσωσιν. ΕΙΣ ΤΟΝ ΜΙΝΩΑ Καρχηδόνιοι.

Min 315b Καρχηδὼν ἐν Λιβύῃ πόλις διάσημος, ἧς οἱ πολῖται οὗτοι. Ἀθάμαντος.

Min 315c Ἀθάμας Αἰόλου τοῦ Ἕλληνος καὶ Αἰναρέτης τῆς Δηϊμάχου, βασιλεύων Βοιωτίας, ἐκπίπτει διά τινας τύχας αὐτῆς· ᾧπερ ὁ Πύθιος χρᾷ ἐκεῖσε κατοικεῖν οὗ ὑπ' ἀγρίων ζῴων ξενισθῇ. ἐλθόντος δὲ καθ' ἣν χώραν λύκοι κρέα προβάτων διενέμοντο, αὐτοὺς μὲν διὰ δέος φασὶ φυγεῖν, συνέντα δὲ τοῦτον οἰκῆσαί τε αὐτοῦ, καὶ τῇ Ἀθαμαντίᾳ καὶ τοῖς ἀπ' αὐτοῦ τῆς οἰκείας κλήσεως μεταδοῦναι. ἐγχυτιστρίας. [5]

Min 315c,bis τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφερούσας, ὡς ἐπὶ τοῦδε. ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης (fr. 793 Kock). λέγονται δὲ καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν, αἷμα ἐπιχέουσαι τοῦ ἱερείου. ἔτι δὲ καὶ αἱ θρηνήτριαι, καὶ δὴ καὶ αἱ μαῖαι αἱ ἐκτιθεῖσαι ἐν χύτραις τὰ βρέφη. ἀλλά. [5]

Min 316a τὸ ἀλλά· λαμβ〈άν〉εται καὶ ἀντὶ τοῦ ἔστω, καὶ ἀντὶ τοῦ ὅτ' ἂν δέ, καὶ ἀντὶ τοῦ ἔπειτα δέ. παιδοτρίβης.

Min 318a ὁ ἀλείπτης ἢ γυμναστής. Μαρσύας.

Min 318b Μαρσύας Ὑάγνιδος ὁ πρῶτος μετὰ Ἀθηνᾶν αὐλῶν εὑρέτης, εἶτα Φρυγίου καὶ Μιξολυδίου ἁρμονίας. οὗτος ἐς τοσοῦτον προῆλθεν αὐλητικῆς ὡς περὶ αὐτῆς ἐρίσαι Ἀπόλλωνι, τοῦ πλεονεκτήσαντος τὴν κρίσιν ποιουμένων Μουσῶν, καὶ δὴ νικηθεὶς ὑπ' αὐτοῦ δίδωσι δίκην τῆς ἥττης τὸ δέρμα δαρείς· οὗ δὴ ἀπὸ τοῦ σώματος ῥυέντος αἵματος ποταμὸς προῆλθεν ὁ τούτῳ ὁμώνυμος. Ὄλυμπον δέ τινες οὐ Φρύγα, Μυσὸν δέ φασιν, καὶ τοῦτον γενέσθαι πρῶτον κρουμάτων εὑρετήν. παιδικά. [5]

Min 318b,bis καὶ ἐπὶ θηλειῶν καὶ ἐπὶ ἀρρένων, ὡς νῦν, ἡ λέξις εὕρηται ἐρρωμένων (sic), κατὰ μεταφορὰν δὲ τὴν ἀπὸ τούτων, καὶ ἐπὶ πάντων τῶν σπουδαζομένων πάνυ· ὡς αὐτὸς οὗτος ὁ Πλάτων ἐν Φαίδρῳ (236 b)· "Ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην, ἐρεσχηλῶν σε." ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρρωμένων (sic). ἐννέωρος. [5]

Min 319b ἐνναέτης· ὧρος γὰρ ὁ ἐνιαυτός. ἢ οὖν ἀπὸ ἐννέα ἐτῶν ἄρξας, ἢ ἐννέα ἔτη βασιλεύων. συμπαιστήν.

Min 319e συμπαίγμονα. ἐντείνοντες.

Min 321a πληγὰς διδόντες. τοὺς δασμούς.

Min 321a,bis Αἰγέως τοῦ Πανδίονος βασιλεύοντος Ἀθηνῶν, κατὰ τὴν τῶν Παναθηναίων ἑορτὴν Ἀνδρόγεως ὁ Μίνω πάντας ἀγῶνας νικᾷ. τοῦτον Αἰγεὺς στέλλει μὲν ἐπὶ τὸν Μαραθώνιον ταῦρον, διαφθείρεται δὲ ὑπ' αὐτοῦ, ἢ ὥς τινες, πορευόμενος ἐπὶ Θήβας διὰ τὸν Λαΐου ἀγῶνα πρὸς τῶν ἀνταγωνιστῶν διὰ φθόνον ἀπόλλυται. ὃ μαθὼν Μίνως Ἀθήνας τε πολεμεῖ καὶ Μέγαρα εἷλεν, μὴ οἷός τε δ' ὢν πορθῆσαι ταύτας, εὔχεται τῷ Διὶ παρ' Ἀθηναίων δίκην λαβεῖν· καὶ διὰ τοῦτο λιμὸς ἐνσκήπτει τούτοις καὶ λοιμός. χρωμένων δὲ περὶ τῆς τούτων ἀπαλλαγῆς ἀνεῖπεν ὁ Ἀπόλλων δίκας Μίνῳ δοῦναι ἃς ἂν αὐτὸς αἱρῆται. Μίνως δὲ κελεύει δεκέτεις κόρους ἑπτὰ καὶ κόρας ἴσας ἀόπλους πέμπειν κατὰ ἔτος τῷ Μινωταύρῳ βορ[ρ]ὰν κατὰ τὸν λαβύρινθον, ὃς ὑπὸ Δαιδάλου κατεσκεύαστο χῶρός τις σκολιός. Θησεὺς δὲ μετὰ καὶ τῶν λοιπῶν κατὰ τὸ τρίτον ἔτος εἰς τὸν δασμὸν καταλεγεὶς τόν τε Μινώταυρον ἀναιρεῖ, καὶ παύει τὴν εἰς Κρήτην πομπὴν τοῦ δασμοῦ. περὶ τούτου οὖν ἐνταῦθά φησι. Διὸς φιλίου. [15]

Min 321c τοῦ τῶν φιλικῶν καθηκόντων ἐφόρου. φλαῦρον.

Min 321d κακόν, ὡς νῦν· ἢ φαῦλον ἢ κοῦφον κακόν. τινὲς δὲ φλαῦρον μὲν τὸ μικρὸν κακόν, φαῦλον δὲ τὸ μέγα. ΕΙΣ ΤΟΥΣ ΝΟΜΟΥΣ Ὑπόθεσις ὁ Ἀθηναῖος οὗτος ξένος πεποίηται ἐνταῦθα εἰς τὴν Κρήτην ἀπιών, ἔστι δὲ Πλάτων, ὡς ἐκ τοῦδε φανερόν. [1]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Lg hyp (t) αὐτὸς γὰρ ὁ Ἀθηναῖος ξένος ἐν τῷ .. τῶν Νόμων λέγει ὅτι ἤδη αὐτῷ δύο πολιτεῖαι προηνύσθησαν· ἢ οὖν οὐδ' ἐκεῖναι Πλάτωνος, ἢ εἰ μὴ τοῦτο, ὁ αὐτὸς ἂν εἴη τῷ Ἀθηναίῳ ξένῳ. οὗτος οὖν εἰς Κρήτην ἀφικόμενος καὶ περιτυγχάνων ἔξω πρὸ τῆς Κνωσσοῦ Κλεινίᾳ τε τῷ Κρητὶ καὶ Μεγίλλῳ τῷ Λακεδαιμονίῳ, ἐπιτετραμμένοις μὲν ὑπὸ τῶν τὴν Κνωσσὸν οἰκούντων ἀποικίαν ποιήσασθαι ἐκεῖθεν καὶ καταστήσασθαι πόλιν νόμους τὲ προσήκοντας τοῖς πολίταις διαθεῖναι, προσεχῶς δ' ὡρμημένοις ἐπὶ τὸ τοῦ Διὸς ἄντρον, ἱερὸν τοῦτο γενόμενον ἁγιώτατον, ἐν ᾧ τὰ σεπτότατα καὶ ἀρρητότατα τῶν μυστηρίων ἐπετελεῖτο· περιτυχὼν δ' οὖν αὐτοῖς ὁ ξένος, καὶ ταῦτα παρ' αὐτῶν ⸗ πυθόμενος, ἤρετο ἐπὶ τούτοις τίνες ἂν εἶεν οἱ νόμοι· τῶν δὲ μὴ δυνηθέντων τελείαν ἀποδοῦναι τὴν τῶν νόμων διάθεσιν, ὁρώντων δὲ τὸν ξένον εὖ παρεσκευασμένον περὶ νόμων θέσιν, καὶ παρακαλούντων συλλήπτορα αὐτὸν γενέσθαι τῆς πολιτείας, ἄρχεται ὁ Ἀθηναῖος ξένος τῆς τῶν νόμων διαθέσεως· ἐν οἷς δὴ οὐκέτι, ὥσπερ ἐν τοῖς τῆς μεγάλης Πολιτείας, κοινὰ πάντα προστάττει, ἀλλ' ἑκάστῳ ἀγρὸν ἀπονέμει καὶ πρὸς τούτῳ οἰκίαν, ἔτι μέντοι καὶ γυναῖκα ἰδίαν καὶ παῖδας οὐκέτι κοινούς, πλὴν ὅτι οὐδὲ ταῦτα ἀόριστα ἀφῆκεν, ἀλλὰ τοὺς κλήρους εἰς ὡρισμένον ἀριθμὸν περιέλαβεν. τεσσαράκοντα γὰρ καὶ πέντε τοὺς πάντας κλήρους διανέμειν παρακελεύεται· τὴν δ' αἰτίαν τοῦ τοσούτου ἀριθμοῦ γνωσόμεθα, ὅταν αὐτὸς ἐπιμνησθῇ. ὁρίζει δὲ καὶ τὰ τιμήματα, ὥσπερ ὁ Σόλων Ἀθηναῖος, εἰ καὶ τρόπον ἄλλον. πεντακοσιομέδιμνοι γὰρ παρ' ἐκείνῳ καὶ ἱππεῖς ἄλλοι καὶ ζευγῖται καὶ τέταρτοι θῆτες· καὶ παρὰ τούτῳ δὲ τέτταρα ταῦτα ὁρισθήσεται, οὐκέτι δὲ τοῖς αὐτοῖς προσαγορευόμενα ὀνόμασιν οὐδὲ τῆς αὐτῆς ὄντα ποσότητος, πλὴν ὡρισμένα ὥστε μὴ ἐξεῖναι, εἰ τύχοι, τῷ πρώτῳ πλεῖον τετρακοσίων ἔχειν περιουσίαν, μήτε μὴν τῷ ἐσχάτῳ τῶν ρ' ἐλάττονα. τοιαύτη τίς ἐστιν ἡ ὑπόθεσις. φήμας. [25]

Lg 624b διαφέρει λόγος φήμης· ὁ μὲν γὰρ δῆλος γίγνεται καὶ ὑφ' οὗ φέρεται, ἡ δὲ ἄγνωστον ἔχει τὴν ἀρχήν. τοῦτον οὖν κτλ.

Lg 624b,bis ἐγένετο καὶ τούτων τρίτος ἀδελφός, Τάλως. ὃς δὴ ἔνοπλος τὴν Κρήτην περιιέναι φρουρῶν ἐλέγετο. κλέος.

Lg 625a καὶ οἱ Στωϊκοὶ πλατωνίζοντες κλέος φασὶ τὸ ἐπὶ τῶν σπουδαίων γινόμενον δικαίως, δόξαν δὲ τὴν ἐπὶ τῶν ἀσπούδων δόκησιν. πολιτείας .

Lg 625a,bis .. νόμων. πολιτείας, τῆς μιᾶς ζωῆς τῆς ὅλης πόλεως, νόμων δέ, τῶν διανεμόντων τὰ μέρη ἐξ ὧν ἡ πόλις. τοῦ Διὸς ἄντρον.

Lg 625b οὗ τὰ μέγιστα τῶν τοῦ Διὸς μυστηρίων καὶ τῶν Κουρητῶν ἐκεῖ δρᾶσθαι ἐλέγετο. ad τί τὰ συσσίτια in mg.

Lg 625c ἐρώτ〈ησισ〉 α'. " τὰ γυμνάσια " " β'. " καὶ τὴν τῶν " " γ'. " τὴν γὰρ τῆς " " ἀπόκ〈ρισισ〉 γ'. (A: non habet O.) συσσίτια. [5]

Lg 625c,bis [Start of a diagram] ἀνδρία φιλίτια συσσίτια Κρῆτες Λάκωνες Ἀθηναῖοι [End of a diagram] ὅπλων ἕξιν.

Lg 625c,ter σχέσιν ἢ περιβολήν, ἢ ἁπλῶς ὅπλισιν, παρὰ τὸ ἔχειν. πεδίας.

Lg 625d ἀπολογεῖται διὰ τὴν τῶν τόξων χρῆσιν· καὶ γὰρ ὄνειδος ἦν, ὡς τὸ "τοξότα λωβήτηρ" (Λ 385)· οὐ γὰρ ἀγχέμαχοι, ἀλλὰ πόρρωθεν βάλλουσιν οἱ τοξόται. αἰτιᾶται οὖν τὸν τόπον. τόξων καὶ τοξευμάτων.

Lg 625d,bis τόξα ὁ βιός, τοξεύματα τὰ βέλη. πρὸς τὸν πόλεμον.

Lg 625d,ter ὥστε πρὸς νίκην ἑώρα ὁ τοῦτο θέμενος. τιμοκρατικὸν δὲ καὶ θυμικὸν τὸ πρὸς πόλεμον τέλος εἶναι τῶν νόμων. ἄνοιαν δή μοι κτλ.

Lg 625e

ὅτι δὴ λανθάνει αὐτοὺς ὡς ἀνάγκη καὶ τὰς πόλεις καὶ πάντας ἀνθρώπους πολεμεῖν διὰ βίου, ὁ Μίνως ἀνοήτους ἐκείνους ἐνόμιζεν, ὅσοι μὴ τὸν πόλεμον τέλος ποιοῦνται. τοῦτο δ’ οὐκ ὀρθῶς ὁ Κρὴς ἔφη· καὶ γὰρ ἡ ἀριστοκρατία τὴν εἰρήνην τέλος ποιουμένη, τὸν πόλεμον ὡς ἀναγκαῖον δι’ αὐτὴν αἱρεῖται. ἄρχοντας.

Lg 625e,bis ἐφίσταντο γὰρ ἄρχοντες τοῖς συσσιτίοις, ἵνα μὴ ἀμέτρως διαιτώμενοι περὶ τὸν πόλεμον ἀργότεροι γίγνωνται. ἀκήρυκτον.

Lg 626a μὴ ἁπλῶς ἔκ τινος περιστάσεως γιγνόμενον, καὶ δεόμενον κήρυκος τοῦ διεγείροντος τοὺς ἀπείρους φύσει πάντας ἐπὶ τοῦτον παρεσκευάσθαι. ἂν μὴ τῷ πολέμῳ κτλ.

Lg 626b τὸ μὲν τῶν κτημάτων τέλος προσήκοι ἂν ταῖς κατὰ τὴν ἐπιθυμίαν πολιτείαις, τὸ δὲ τῶν ἐπιτηδευμάτων τῇ κατὰ τὸν λόγον. τὰς ἄλλας οὖν διὰ τούτων ἀποδοκιμάσας πολιτείας, μόνην ἐγκρίνει τὴν τιμοκρατικὴν διὰ τῆς περὶ τὸν πόλεμον σπουδῆς. ὅρον.

Lg 626b,bis ἀντὶ τοῦ τέλος τῆς νομιζομένης παρὰ σοὶ πολιτείας. πῶς γὰρ ἂν ἄλλως κτλ.

Lg 626c ἡ ἀπόκρισις ἔνδειξιν ἔχει τοῦ Λακωνικοῦ τρόπου, σύντομος οὖσα καὶ συνεστραμμένη, ἅμα δὲ καὶ κατὰ τὴν λέξιν τραχύτητα ὑποφαίνουσα. καὶ τὸ ὦ θεῖε Λακωνικόν, πλὴν ὅτι τὸ θ ἐνήλλακται· σεῖε γὰρ τὸ θεῖε παρ’ αὐτοῖς. πότερ’ οὖν κτλ.

Lg 626c,bis ἐλέγξαι βούλεται ἐντεῦθεν τὴν ἐκείνων ὁμολογίαν περὶ τοῦ κατὰ τὸν πόλεμον νόμου. κέχρηται δὲ δύο ἐπιχειρήμασι, προτέρῳ μὲν τῷ δι’ ἀναλύσεως τρόπῳ, μετὰ ταῦτα δέ, ἐνισταμένου τοῦ Κλεινίου ἐντρεχῶς πρὸς τὴν ἐπιχείρησιν, χρῆται καὶ ἑτέρῳ τῷ κατὰ σύνθεσιν. ἔστι δ’ ὁ ἐλεγχόμενος λόγος αὐτῶν ὁ τιθέμενος ὅρον εἶναι τῆς εὖ πολιτευομένης πόλεως τὸ πολεμεῖν καὶ νικᾶν τὰς ἄλλας. κώμη δὲ πρὸς κώμην κτλ.

Lg 626c,ter ἐπιχ〈είρημα〉 α′ κατὰ ἀνάλυσιν πόλις κώμη οἰκία ἀνὴρ πρὸς ἄνδρα αὐτὸς ἕκαστος πρὸς ἑαυτόν. οὐ γάρ σε Ἀττικόν κτλ.

Lg 626d οὔ σέ φημι ἀπὸ ἀνθρώπου ἔχειν τὴν ἐπωνυμίαν, Ἀτθίδος ἤ τινος τοιούτου, ἀλλ’ ἀπὸ τῆς θεοῦ τῆς Ἀθηνᾶς, ἐπιστημόνως σε καὶ φρονίμως οὕτως διατιθέντα τοὺς λόγους. ἀναγαγών.

Lg 626d,bis τῇ ἀναλύσει χρησάμενος καὶ ἐφ’ ἕνα ἕκαστον ἀναγαγὼν ἐκ τῆς ὅλης πόλεως. ὦ θαυμάσιε.

Lg 626e ἐθαύμασεν ὁ ξένος τὸν λόγον ὅτι δὴ ἐπὶ μὲν τῶν πόλεων καὶ κωμῶν ὁμοίων τὴν φύσιν, ἀνθρώπων γὰρ πρὸς ὁμοίους ἀνθρώπους, ἡ μάχη, ἐπὶ δὲ τῆς ψυχῆς ἀνομοίων· λόγου γὰρ πρὸς ἀλογίαν. τὸ νικᾶν αὐτὸν αὑτόν.

Lg 626e,bis [Start of a diagram] ἑπόμενα λόγος ἄρχει ἄλογον ἠρεμεῖ σωφροσύνη ἀλογία ἄρχει λόγος ἠρεμεῖ ἀκολασία μαχόμενα λόγος νικᾷ ἀλογία ἡττᾶται ἐγκράτεια ἀλογία νικᾷ ἡττᾶται ἀκρασία [End of a diagram] αἴσχιστον.

Lg 626e,ter ἀληθὲς μὲν τοῦτο, μὴ μέντοι λέγε ἄριστον τὸ τῆς ἐγκρατείας εἶδος· τούτου γὰρ ἄμεινον τὸ σωφρονικόν. πάλιν τοίνυν κτλ.

Lg 626e,quat ἐπιχ〈είρημα〉 β′ κατὰ σύνθεσιν αὐτὸς ἕκαστος πρὸς αὑτόν οἰκία κώμη πόλις ταὐτὸν τοῦτο.

Lg 627a τὸ κρεῖττον καὶ ἧττον. καὶ τοῦτο ὀρθῶς κτλ.

Lg 627a,bis εὑρίσκει καὶ πρὸς τοῦτο ἀπαντῆσαι. ὡς γὰρ ψυχὴ ἐλέγετο κρείττων ἑαυτῆς ἐκείνη ἐν ᾗ ὁ λόγος ὡς ἀμείνων ἐκράτει, ἥττων δ’ ἑαυτῆς ἐν ᾗ τὸ ἄλογον, οὕτω καὶ πόλις καὶ κώμη ἐπὶ ἀμεινόνων καὶ χειρόνων ἀνδρῶν ἔχουσιν. τοὐναντίον δέ κτλ.

Lg 627a,ter ὁμωνυμία τίς ἐστι περὶ τὰς εἰρημένας παρὰ τοῦ Κλεινίου φωνάς, καὶ δυνατὸν ἦν τῷ ἀντιλαμβανομένῳ τῶν λέξεων ἐναντιώσει αὐτὸν περιβαλεῖν. τὸ γὰρ κρεῖττον καὶ ἧττον καὶ ἄμεινον καὶ χεῖρον δύναται καὶ ἐπὶ τῆς ἔνδον ζωῆς τῆς ψυχικῆς θεωρεῖσθαι καὶ ἐπὶ τῆς κατὰ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σώματα διαφορᾶς, καὶ οὐδὲν κωλύεται ὁ κρείττων κατὰ τὴν ζωὴν χείρων εἶναι κατὰ τὸ σῶμα. οὕτω δὴ καὶ ἐν πόλει εἰ κρατοῖεν οἱ ἀμείνους τῶν χειρόνων τὸν εἰρημένον τρόπον, λέγοιτ' ἂν ἑαυτῆς κρείττων, ἀλλὰ καὶ ἧττον, καὶ ἔσται ἐναντιότης τῶν ὀνομάτων περὶ τὸ αὐτὸ πρᾶγμα. διορισμοῦ δὴ χρεία περὶ τὴν ὁμωνυμίαν. ἀλλ' ἵνα μὴ τὸ πάρεργον ἔργον ποιήσωμεν, ἄλλως διὰ παραδείγματος μεθοδευτέον τὸ σκέμμα. εἴ ποτ' ἐστί που.

Lg 627b οὐ γὰρ ἐν νοητοῖς οὐδ' ἐν οὐρανίοις, ἀλλ' ἐν τῇ γενέσει. τὸ χεῖρον κρεῖττον τοῦ ἀμείνονος.

Lg 627b,bis ἐπειδὴ κρεῖττον οὐ μόνον λέγεται τὸ βέλτιον ἀλλὰ καὶ τὸ ἐπικρατέστερον, ἐπειδὰν τὸ χεῖρον νικᾷ, καὶ κρεῖττον ἐστιν· ὃ καὶ αἰνίγματι ἔοικεν, εἶναι τὸ χεῖρον κρεῖττον. ἀλλ' ἐστὶ τὸ χεῖρον κρεῖττον οὐχ ὡς βέλτιον, ἀλλ' ὡς ἐπικρατέστερον ὂν τηνικαῦτα. ad ὅστις τοὺς μέν κτλ.

Lg 627d in mg. α′. " ἢ ὅδε ὃς ἄν κτλ. " " β′. " τρίτον δέ που κτλ. " " γ′. Τύρταιον.

